BIBLIOTHECA
SCRIPTORVM GRAECORVM ET ROMANORVM
TEVBNERIANA

# XENOPHONTIS
# DE RE EQVESTRI

EDIDIT

KLAVS WIDDRA

1964

LIPSIAE IN AEDIBVS B. G. TEVBNERI

Sächsische
38 8°
1876
Landesbibl.

SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id404263895/1
UNIVERSITÄT LEIPZIG

SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id404263895/2
UNIVERSITÄT LEIPZIG

SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id404263895/3
UNIVERSITÄT LEIPZIG

ACADEMIA SCIENTIARVM GERMANICA
BEROLINENSIS

---

# BIBLIOTHECA
## SCRIPTORVM GRAECORVM ET ROMANORVM
## TEVBNERIANA

EDITA CONSILIO ATQVE AVCTORITATE
INSTITVTI
GRAECOROMANAE ANTIQVITATIS
STVDIIS COLENDIS DESTINATI

LIPSIAE IN AEDIBVS B. G. TEVBNERI MCMLXIV

SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id404263895/4
UNIVERSITÄT LEIPZIG

# ΞΕΝΟΦΩΝΤΟΣ
# ΠΕΡΙ ΙΠΠΙΚΗΣ

EDIDIT

KLAVS WIDDRA

ADIECTAE SVNT DVAE TABVLAE

LIPSIAE IN AEDIBVS B.G.TEVBNERI MCMLXIV

SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id404263895/5
UNIVERSITÄT LEIPZIG

Xenophon Atheniensis

BIBLIOTHECAE TEVBNERIANAE

HVIVS TEMPORIS

REDACTOR: JOHANNES IRMSCHER

HOC VOLVMEN IMPRIMENDVM

CVRAVIT BRVNO DOER

Sächsische
Landesbibliothek
20 APR 1964
Dresden

ES 7 M

LIZ.-Nr. 294 · 375/18/63

PRINTED IN THE DEMOCRATIC GERMAN REPVBLIC

LIPSIAE: TYPIS B. G. TEVBNERI (III/18/154) · 1945

SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id404263895/6
UNIVERSITÄT LEIPZIG

# *ΞΕΝΟΦΩΝΤΟΣ ΠΕΡΙ ΙΠΠΙΚΗΣ*

## 1

*Ἐπειδὴ διὰ τὸ συμβῆναι ἡμῖν πολὺν χρόνον ἱππεύειν* 1
*οἰόμεθα ἔμπειροι ἱππικῆς γεγενῆσθαι, βουλόμεθα καὶ τοῖς νεωτέροις τῶν φίλων δηλῶσαι, ᾗ ἂν νομίζομεν αὐτοὺς ὀρθότατα ἵπποις προσφέρεσθαι. συνέγραψε μὲν οὖν καὶ Σίμων περὶ ἱππικῆς, ὃς καὶ τὸν κατὰ τὸ Ἐλευσίνιον Ἀθήνησιν ἵππον χαλκοῦν ἀνέθηκε καὶ ἐν τῷ βάθρῳ τὰ ἑαυτοῦ ἔργα ἐξετύπωσεν· ἡμεῖς γε μέντοι ὅσοις συνετύχομεν ταὐτὰ γνόντες ἐκείνῳ, οὐκ ἐξαλείφομεν ἐκ τῶν ἡμετέρων, ἀλλὰ πολὺ ἥδιον παραδώσομεν αὐτὰ τοῖς φίλοις νομίζοντες ἀξιοπιστότερα εἶναι, ὅτι κἀκεῖνος κατὰ ταὐτὰ ἡμῖν ἔγνω ἱππικὸς ὤν· καὶ ὅσα δὴ παρέλιπεν, ἡμεῖς πειρασόμεθα δηλῶσαι.*

*Πρῶτον δὲ γράψομεν, ὡς ἂν τις ἥκιστα ἐξαπατῷτο ἐν ἱππωνίᾳ. τοῦ μὲν τοίνυν ἀδαμάστου πώλου δῆλον ὅτι τὸ σῶμα δεῖ δοκιμάζειν· τῆς γὰρ ψυχῆς οὐ πάνυ σαφῆ τεκμήρια παρέχεται ὁ μήπω ἀναβαινόμενος.*

*Τοῦ γε μὴν σώματος πρῶτόν φαμεν χρῆναι τοὺς πόδας σκο-* 2

*πεῖν. ὥσπερ γὰρ οἰκίας οὐδὲν ὄφελος ἂν εἴη, εἰ τὰ ἄνω πάνυ
καλὰ ἔχοι μὴ ὑποκειμένων οἵων δεῖ θεμελίων, οὕτω καὶ ἵπ-
που πολεμιστηρίου οὐδὲν ἂν ὄφελος εἴη, οὐδ᾽ εἰ τἆλλα πάντα
ἀγαθὰ ἔχοι, κακόπους δ᾽ εἴη· οὐδενὶ γὰρ ἂν δύναιτο τῶν ἀγα-*
**3** *θῶν χρῆσθαι. πόδας δ᾽ ἄν τις δοκιμάζοι πρῶτον μὲν τοὺς
ὄνυχας σκοπῶν· οἱ γὰρ παχεῖς πολὺ τῶν λεπτῶν διαφέρουσιν
εἰς εὐποδίαν· ἔπειτα οὐδὲ τοῦτο δεῖ λανθάνειν, πότερον αἱ
ὁπλαί εἰσιν ὑψηλαὶ [ἢ ταπειναὶ] καὶ ἔμπροσθεν καὶ ὄπισθεν
ἢ χαμηλαί. αἱ μὲν γὰρ ὑψηλαὶ πόρρω ἀπὸ τοῦ δαπέδου
ἔχουσι τὴν χελιδόνα καλουμένην, αἱ δὲ ταπειναὶ ὁμοίως
βαίνουσι τῷ τε ἰσχυροτάτῳ καὶ τῷ μαλακωτάτῳ τοῦ πο-
δός, ὥσπερ οἱ βλαισοὶ τῶν ἀνθρώπων· καὶ τῷ ψόφῳ δὲ
ἔφη Σίμων δήλους εἶναι τοὺς εὔποδας, καλῶς λέγων·
ὥσπερ γὰρ κύμβαλον ψοφεῖ πρὸς τῷ δαπέδῳ ἡ κοίλη ὁπλή.*
**4** *Ἐπεὶ δὲ ἠρξάμεθα ἐντεῦθεν, ταύτῃ καὶ ἀναβησόμεθα
πρὸς τὸ ἄλλο σῶμα. δεῖ τοίνυν καὶ τὰ ἀνωτέρω μὲν τῶν
ὁπλῶν, κατωτέρω δὲ τῶν κυνηπόδων ὀστᾶ μήτε ἄγαν ὀρθὰ
εἶναι ὥσπερ αἰγός· ἀντιτυπώτερα γὰρ ὄντα κόπτει τε τὸν
ἀναβάτην καὶ παραπίμπραται μᾶλλον τὰ τοιαῦτα σκέλη·
οὐδὲ μὴν ἄγαν ταπεινὰ τὰ ὀστᾶ δεῖ εἶναι· ψιλοῖντο γὰρ ἂν
καὶ ἑλκοῖντο οἱ κυνήποδες εἴτ᾽ ἐν βώλοις εἴτ᾽ ἐν λίθοις ἐλαύ-*
**5** *νοιτο ὁ ἵππος. τῶν γε μὴν κνημῶν τὰ ὀστᾶ παχέα χρὴ
εἶναι· ταῦτα γάρ ἐστι στήριγγες τοῦ σώματος· οὐ μέντοι
φλεψί γε οὐδὲ σαρξὶ παχέα· εἰ δὲ μή, ὅταν ἐν σκληροῖς*

*ἐλαύνηται, ἀνάγκη αἵματος ταῦτα πληροῦσθαι καὶ κρισ-*
*σοὺς γίγνεσθαι, καὶ παχύνεσθαι μὲν τὰ σκέλη, ἀφίστασθαι*
*δὲ τὸ δέρμα. χαλῶντος δὲ τούτου πολλάκις καὶ ἡ πε-*
*ρόνη ἀποστᾶσα χωλὸν ἀπέδειξε τὸν ἵππον. τά γε μὴν* 6
*γόνατα ἢν βαδίζων ὁ πῶλος ὑγρῶς κάμπτῃ, εἰκάζοις ἂν*
*καὶ ἱππεύοντα ὑγρὰ ἕξειν τὰ σκέλη· πάντες γὰρ προϊόντος*
*τοῦ χρόνου ὑγροτέρως κάμπτουσιν ἐν τοῖς γόνασι. τὰ δὲ*
*ὑγρὰ δικαίως εὐδοκιμεῖ· ἀπταιστότερον γὰρ καὶ ἀκοπώ-*
*τερον τὸν ἵππον τῶν σκληρῶν σκελῶν παρέχει. μηροί γε* 7
*μέντοι οἱ ὑπὸ ταῖς ὠμοπλάταις ἢν παχεῖς ὦσιν, ἰσχυρότε-*
*ροί τε καὶ εὐπρεπέστεροι ὥσπερ ἀνδρὸς φαίνονται. καὶ μὴν*
*στέρνα πλατύτερα ὄντα καὶ πρὸς κάλλος καὶ πρὸς ἰσχὺν*
*καὶ πρὸς τὸ μὴ ἐπαλλὰξ ἀλλὰ διὰ πολλοῦ τὰ σκέλη φέρειν*
*εὐφυέστερα. ἀπό γε μὴν τοῦ στέρνου ὁ μὲν αὐχὴν αὐτοῦ* 8
*μὴ ὥσπερ κάπρου προπετὴς πεφύκοι, ἀλλ᾽ ὥσπερ ἀλεκτρυ-*
*όνος ὀρθὸς πρὸς τὴν κορυφὴν ἥκοι, λαγαρὸς δὲ εἴη τὰ κατὰ*
*τὴν συγκαμπήν, ἡ δὲ κεφαλὴ ὀστώδης οὖσα μικρὰν σιαγόνα*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id404263895/9 UNIVERSITÄT LEIPZIG

ἔχοι. οὕτως ὁ μὲν τράχηλος πρὸ τοῦ ἀναβάτου ἂν εἴη,
τὸ δὲ ὄμμα πρὸ τῶν ποδῶν ὁρῴη. καὶ βιάζεσθαι δὲ
ἥκιστ᾿ ἂν δύναιτο ὁ τοιοῦτον σχῆμα ἔχων καὶ εἰ πάνυ
θυμοειδὴς εἴη· οὐ γὰρ ἐγκάμπτοντες ἀλλ᾿ ἐκτείνοντες τὸν
τράχηλον καὶ τὴν κεφαλὴν βιάζεσθαι οἱ ἵπποι ἐπιχειροῦσι.
9 σκοπεῖν δὲ χρὴ καὶ εἰ ἀμφότεραι μαλακαὶ αἱ γνάθοι ἢ
σκληραὶ ἢ ἕτεραι. ἑτερόγναθοι γὰρ ὡς τὰ πολλὰ οἱ μὴ
ὁμοίας τὰς γνάθους ἔχοντες γίγνονται. καὶ μὴν τὸ ἐξ-
όφθαλμον εἶναι ἐγρηγορὸς μᾶλλον φαίνεται τοῦ κοιλοφθάλ-
10 μου, καὶ ἐπὶ πλεῖον δ᾿ ἂν ὁ τοιοῦτος ὁρῴη. καὶ μυκτῆρές γε
οἱ ἀναπεπταμένοι τῶν συμπεπτωκότων εὐπνοώτεροί τε
ἅμα εἰσὶ καὶ γοργότερον τὸν ἵππον ἀποδεικνύουσι. καὶ
γὰρ ὅταν ὀργίζηται ἵππος ἵππῳ ἢ ἐν ἱππασίᾳ θυμῶται,
11 εὐρύνει μᾶλλον τοὺς μυκτῆρας. καὶ μὴν κορυφὴ μὲν μείζων,
ὦτα δὲ μικρότερα ἱππωδεστέραν τὴν κεφαλὴν ἀποφαίνει.
ἡ δ᾿ αὖ ὑψηλὴ ἀκρωμία τῷ τε ἀναβάτῃ ἀσφαλεστέραν τὴν
ἕδραν καὶ τοῖς ὤμοις [καὶ τῷ σώματι] ἰσχυροτέραν τὴν
πρόσφυσιν παρέχεται. ⟨ῥάχις γε μὴν⟩ ἡ διπλῆ τῆς ἁπλῆς



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id404263895/10 UNIVERSITÄT LEIPZIG

καὶ ἐγκαθῆσθαι μαλακωτέρα καὶ ἰδεῖν ἡδίων. καὶ πλευρὰ 12
δὲ ἡ βαθυτέρα καὶ πρὸς τὴν γαστέρα ὀγκωδεστέρα ἅμα εὐεδρότερόν τε καὶ ἰσχυρότερον καὶ εὐχιλότερον ὡς ἐπὶ πολὺ τὸν ἵππον παρέχεται.

Ὀσφῦς γε μὴν ὅσῳ ἂν πλατυτέρα τε καὶ βραχυτέρα ᾖ, τοσούτῳ ῥᾷον μὲν ὁ ἵππος τὰ πρόσθεν αἴρεται, ῥᾷον δὲ τὰ ὄπισθεν προσάγεται· καὶ ὁ κενεὼν δὲ οὕτω μικρότατος φαίνεται, ὅσπερ μέγας ὢν μέρος μέν τι καὶ αἰσχύνει, μέρος δέ τι καὶ ἀσθενέστερον καὶ δυσφορώτερον αὖ τὸν ἵππον



13 *παρέχεται. τά γε μὴν ἰσχία πλατέα εἶναι μὲν χρὴ καὶ
εὔσαρκα, ἵνα ἀκόλουθα ᾖ ταῖς πλευραῖς καὶ τοῖς στέρνοις·
ἢν δὲ πάντα στερεὰ ᾖ, κουφότερα ἂν τὰ πρὸς τὸν δρόμον*
14 *εἴη καὶ ὀξύτερον μᾶλλον αὖ τὸν ἵππον παρέχοιτο. μηρούς
γε μὴν τοὺς ὑπὸ τῇ οὐρᾷ ἢν ἅμα πλατείᾳ τῇ γραμμῇ δι-
ωρισμένους ἔχῃ, οὕτω καὶ τὰ ὄπισθεν σκέλη διὰ πολλοῦ
ὑποθήσει. τοῦτο δὲ ποιῶν ἅμα γοργοτέραν τε καὶ ἰσχυρο-
τέραν ἕξει τὴν ὑπόβασίν τε καὶ ἱππασίαν καὶ ἅπαντα βελ-
τίων ἔσται ἑαυτοῦ. τεκμήραιο δ᾽ ἂν καὶ ἀπ᾽ ἀνθρώπων·
ὅταν γάρ τι ἀπὸ τῆς γῆς ἄρασθαι βούλωνται, διαβαίνοντες
πάντες μᾶλλον ἢ συμβεβηκότες ἐπιχειροῦσιν αἴρεσθαι.*
15 *τούς γε μὴν ὄρχεις δεῖ μὴ μεγάλους τὸν ἵππον ἔχειν, ὃ οὐκ
ἔστι πώλου κατιδεῖν. περί γε μὴν τῶν κάτωθεν, ἀστραγάλων
ἢ κνημῶν καὶ κυνηπόδων καὶ ὁπλῶν, τὰ αὐτὰ λέγομεν, ἅπερ*
16 *περὶ τῶν ἔμπροσθεν. γράψαι δὲ βούλομαι καὶ ἐξ ὧν ἂν περὶ
μεγέθους ἥκιστα ἀποτυγχάνοι τις. ὅτου γὰρ ἂν ὦσιν αἱ
κνῆμαι εὐθὺς γιγνομένου ὑψηλόταται, οὗτος μέγιστος γί-
γνεται. προϊόντος γὰρ τοῦ χρόνου πάντων τῶν τετραπόδων
αἱ μὲν κνῆμαι εἰς μέγεθος οὐ μάλα αὔξονται, πρὸς δὲ ταύτας,
ὡς ἂν συμμέτρως ἔχῃ, συναύξεται καὶ τὸ ἄλλο σῶμα.*
17 *Εἶδος μὲν δὴ πώλου οὕτω δοκιμάζοντες μάλιστ᾽ ἂν ἡμῖν
δοκοῦσι τυγχάνειν εὔποδος καὶ ἰσχυροῦ καὶ εὐσάρκου καὶ εὐ-
σχήμονος καὶ εὐμεγέθους. εἰ δέ τινες αὐξανόμενοι μεταβάλ-
λουσιν, ὅμως οὕτω θαρροῦντες δοκιμάζωμεν· πολὺ γὰρ πλεί-
ονες εὔχρηστοι ἐξ αἰσχρῶν ἢ ἐκ τοιούτων αἰσχροὶ γίγνονται.*

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id404263895/12 UNIVERSITÄT LEIPZIG

## 2

*Ὅπως γε μὴν δεῖ πωλεύειν ⟨οὐ⟩ δοκεῖ ἡμῖν γραπτέον εἶναι· τάττονται μὲν γὰρ δὴ ἐν ταῖς πόλεσιν ἱππεύειν οἱ τοῖς χρήμασί τε ἱκανώτατοι καὶ τῆς πόλεως οὐκ ἐλάχιστον μετέχοντες· πολὺ δὲ κρεῖττον τοῦ πωλοδάμνην εἶναι τῷ μὲν νέῳ εὐεξίας τε ἐπιμελεῖσθαι τῆς ἑαυτοῦ καὶ ἱππικῆς ἢ ἐπισταμένῳ ἤδη ἱππάζεσθαι μελετᾶν, τῷ δὲ πρεσβυτέρῳ τοῦ τε οἴκου καὶ τῶν φίλων καὶ τῶν πολιτικῶν καὶ τῶν πολεμικῶν μᾶλλον ἢ ἀμφὶ πώλευσιν διατρίβειν. ὁ μὲν δὴ* 2
*ὥσπερ ἐγὼ γιγνώσκων περὶ πωλείας δῆλον ὅτι ἐκδώσει τὸν πῶλον. χρὴ μέντοι, ὥσπερ τὸν παῖδα ὅταν ἐπὶ τέχνην ἐκδῷ συγγραψάμενον, ἃ δεήσει ἐπιστάμενον ἀποδοῦναι, οὕτως ἐκδιδόναι. ταῦτα γὰρ ὑπομνήματα ἔσται τῷ πωλοδάμνῃ, ὧν δεῖ ἐπιμεληθῆναι, εἰ μέλλει τὸν μισθὸν ἀπολήψεσθαι.*

*Ὅπως μέντοι πρᾶός τε καὶ χειροήθης καὶ φιλάνθρωπος* 3
*ὁ πῶλος ἐκδιδῶται τῷ πωλοδάμνῃ ἐπιμελητέον. τὸ γὰρ τοιοῦτον οἴκοι τε τὰ πλεῖστα καὶ διὰ τοῦ ἱπποκόμου ἀποτελεῖται, ἢν ἐπίστηται τὸ μὲν πεινῆν καὶ διψῆν καὶ μυωπίζεσθαι παρασκευάζειν μετ᾽ ἐρημίας γίγνεσθαι τῷ πώλῳ, τὸ δὲ φαγεῖν καὶ πιεῖν καὶ τὸ τῶν λυπούντων ἀπαλλάττεσθαι δι᾽ ἀνθρώπων. τούτων γὰρ γιγνομένων ἀνάγκη μὴ μόνον φιλεῖσθαι ἀλλὰ καὶ ποθεῖσθαι ὑπὸ πώλων ἀνθρώ-*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id404263895/13 UNIVERSITÄT LEIPZIG

4 *πους. καὶ ἅπτεσθαι δὲ χρή, ὧν ψηλαφωμένων ὁ ἵππος μά-
λιστα ἥδεται. ταῦτα δ᾽ ἐστὶ τά τε λασιώτατα καὶ οἷς
αὐτὸς ἥκιστ᾽ ἂν δύναιτο ὁ ἵππος, ἤν τι λυπῇ αὐτόν, ἐπι-
5 κουρεῖν. προστετάχθω δὲ τῷ ἱπποκόμῳ καὶ τὸ δι᾽ ὄχλου
διάγειν καὶ παντοδαπαῖς μὲν ὄψεσι παντοδαποῖς δὲ ψόφοις
πλησιάζειν. τούτων δέ, ὅσα ἂν ὁ πῶλος φοβῆται, οὐ χαλε-
παίνοντα δεῖ ἀλλὰ πραΰνοντα διδάσκειν, ὅτι οὐ δεινά
ἐστι.*

*Καὶ περὶ μὲν πωλείας ἀρκεῖν μοι δοκεῖ τῷ ἰδιώτῃ εἰπεῖν
τοσαῦτα πράττειν.*

## 3

1 *Ὅταν γε μὴν ἱππαζόμενον ὠνῆταί τις, ὑπομνήματα γρά-
ψομεν, ἃ δεῖ καταμανθάνειν τὸν μέλλοντα μὴ ἐξαπατᾶ-
σθαι ἐν ἱππωνίᾳ. πρῶτον μὲν τοίνυν μὴ λαθέτω αὐτόν, τίς
⟨ἡ⟩ ἡλικία· ὁ γὰρ μηκέτι ἔχων γνώμονας οὔτ᾽ ἐλπίσιν
2 εὐφραίνει οὔτε ὁμοίως εὐαπάλλακτος γίγνεται. ὁπότε δὲ ἡ
νεότης σαφής, δεῖ αὖ μὴ λαθεῖν, πῶς μὲν εἰς τὸ στόμα δέχε-
ται τὸν χαλινόν, πῶς δὲ περὶ τὰ ὦτα τὴν κορυφαίαν. ταῦτα
δ᾽ ἥκιστ᾽ ἂν λανθάνοι, εἰ ὁρῶντος μὲν τοῦ ὠνουμένου
3 ἐμβάλλοιτο ὁ χαλινός, ὁρῶντος δ᾽ ἐξαιροῖτο. ἔπειτα δὲ προσ-
έχειν δεῖ τὸν νοῦν, πῶς ἐπὶ τὸν νῶτον δέχεται τὸν ἀναβάτην.
πολλοὶ γὰρ ἵπποι χαλεπῶς προσίενται, ἃ πρόδηλα αὐτοῖς*

ἐστιν, ὅτι προσέμενοι πονεῖν ἀναγκασθήσονται. σκε- 4
πτέον δὲ καὶ τόδε, εἰ ἀναβαθεὶς ἐθέλει ἀφ' ἵππων ἀπο-
χωρεῖν ἢ εἰ παρ' ἑστηκότας ἱππεύων μὴ ἐκφέρει πρὸς τού-
τους. εἰσὶ δὲ οἳ διὰ κακὴν ἀγωγὴν καὶ πρὸς τὰς οἴκαδε
ἀφόδους φεύγουσιν ἐκ τῶν ἱππασιῶν. τούς γε μὴν ἑτερο- 5
γνάθους μηνύει μὲν καὶ ἡ πέδη καλουμένη ἱππασία, πολὺ
δὲ μᾶλλον καὶ τὸ μεταβάλλεσθαι τὴν ἱππασίαν. πολλοὶ
γὰρ οὐκ ἐγχειροῦσιν ἐκφέρειν, ἢν μὴ ἅμα συμβῇ ἥ τε ἄδι-
κος γνάθος καὶ ἡ πρὸς οἶκον ἐκφορά. δεῖ γε μὴν εἰδέναι
καὶ εἰ ἀφεθεὶς εἰς τάχος ἀναλαμβάνεται ἐν βραχεῖ καὶ εἰ
ἀποστρέφεσθαι ἐθέλει. ἀγαθὸν δὲ μὴ ἄπειρον εἶναι, εἰ καὶ 6
πληγῇ ἐγερθεὶς ἐθέλει ὁμοίως πείθεσθαι. ἄχρηστον μὲν
γὰρ δήπου καὶ οἰκέτης καὶ στράτευμα ἀπειθές· ἵππος δὲ
ἀπειθὴς οὐ μόνον ἄχρηστος, ἀλλὰ πολλάκις καὶ ὅσαπερ
προδότης διαπράττεται.

Ἐπεὶ δὲ πολεμιστήριον ὑπεθέμεθα ὠνεῖσθαι, ληπτέον 7
πεῖραν ἁπάντων, ὅσωνπερ καὶ ὁ πόλεμος πεῖραν λαμβάνει.
ἔστι δὲ ταῦτα τάφρους διαπηδᾶν, τειχία ὑπερβαίνειν, ἐπ'
ὄχθους ἀνορούειν, ἀπ' ὄχθων καθάλλεσθαι· καὶ πρὸς
ἄναντες δὲ καὶ κατὰ πρανοῦς καὶ πλάγια ἐλαύνοντα πεῖραν
λαμβάνειν· πάντα γὰρ ταῦτα καὶ τὴν ψυχὴν εἰ καρτερὰ
καὶ τὸ σῶμα εἰ ὑγιὲς δοκιμάζει. οὐ μέντοι τὸν μὴ καλῶς 8
πάνυ ταῦτα ποιοῦντα ἀποδοκιμαστέον. πολλοὶ γὰρ οὐ
διὰ τὸ μὴ δύνασθαι, ἀλλὰ διὰ τὸ ἄπειροι εἶναι τούτων



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id404263895/15 UNIVERSITÄT LEIPZIG

*ἐλλείπονται. μαθόντες δὲ καὶ ἐθισθέντες καὶ μελετήσαν-
τες καλῶς ἂν ταῦτα πάντα ποιοῖεν, εἴ γ᾽ ἄλλως ὑγιεῖς καὶ
9 μὴ κακοὶ εἶεν. τούς γε μέντοι ὑπόπτας φύσει φυλακτέον. οἱ
γὰρ ὑπέρφοβοι βλάπτειν μὲν τοὺς πολεμίους ἀφ᾽ ἑαυτῶν
οὐκ ἐῶσι, τὸν δὲ ἀναβάτην ἔσφηλάν τε πολλάκις καὶ εἰς τὰ
10 χαλεπώτατα ἐνέβαλον. δεῖ δὲ καί, εἴ τινα χαλεπότητα ἔχοι
ὁ ἵππος, καταμανθάνειν, εἴτε πρὸς ἵππους εἴτε πρὸς ἀνθρώ-
πους, καὶ εἰ δυσγάργαλός γε εἴη· πάντα γὰρ ταῦτα χαλεπὰ
11 τοῖς κεκτημένοις γίγνεται. τὰς δέ γε τῶν χαλινώσεων καὶ
ἀναβάσεων ἀποκωλύσεις καὶ τἆλλα δὴ νεύματα πολὺ ἂν
ἔτι μᾶλλον καταμάθοι τις, εἰ πεπονηκότος ἤδη τοῦ ἵππου
πάλιν πειρῷτο ποιεῖν ταὐτά, ὅσαπερ πρὶν ἄρξασθαι ἱπ-
πεύειν. ὅσοι δ᾽ ἂν πεπονηκότες ἐθέλωσι πάλιν ὑποδύεσθαι
πόνους, ἱκανὰ τεκμήρια παρέχονται ταῦτα ψυχῆς καρτε-
12 ρᾶς. ὡς δὲ συνελόντ᾽ εἰπεῖν, ὅστις εὔπους μὲν εἴη, πρᾷος
δέ, ἀρκούντως δὲ ποδώκης, ἐθέλοι δὲ καὶ δύναιτο πόνους
ὑποφέρειν, πείθοιτο δὲ μάλιστα, οὗτος ἂν εἰκότως ἀλυπό-
τατός τ᾽ εἴη καὶ σωτηριώτατος τῷ ἀναβάτῃ ἐν τοῖς πολε-*

*μικοῖς. οἱ δὲ ἢ διὰ βλακείαν ἐλάσεως πολλῆς δεόμενοι ἢ διὰ τὸ ὑπέρθυμοι εἶναι πολλῆς θωπείας τε καὶ πραγματείας ἀσχολίαν μὲν ταῖς χερσὶ τοῦ ἀναβάτου παρέχουσιν, ἀθυμίαν δ᾽ ἐν τοῖς κινδύνοις.*

## 4

*Ὅταν γε μὴν ἀγασθεὶς ἵππον πρίηταί τις καὶ οἴκαδε* 1
*ἀγάγηται, καλὸν μὲν ἐν τοιούτῳ τῆς οἰκίας τὸν σταθ-*
*μὸν εἶναι, ὅποι πλειστάκις ὁ δεσπότης ὄψεται τὸν ἵππον·*
*ἀγαθὸν δὲ οὕτω κατεσκευάσθαι τὸν ἱππῶνα, ὥστε μηδὲν*
*μᾶλλον οἷόν τ᾽ εἶναι τὸν τοῦ ἵππου σῖτον κλαπῆναι ἐκ τῆς*
*φάτνης ἢ τὸν τοῦ δεσπότου ἐκ τοῦ ταμιείου. ὁ δὲ τούτου*
*ἀμελῶν ἐμοὶ μὲν ἑαυτοῦ δοκεῖ ἀμελεῖν· δῆλον γάρ, ὅτι ἐν*
*τοῖς κινδύνοις τὸ αὑτοῦ σῶμα τῷ ἵππῳ ὁ δεσπότης παρα-*
*κατατίθεται. ἔστι δὲ οὐ μόνον τοῦ μὴ κλέπτεσθαι ἕνεκα* 2
*τὸν σῖτον ἀγαθὸς ὁ ἐχυρὸς ἱππών, ἀλλ᾽ ὅτι καί, ὅταν μὴ*
*ἐκκομίζῃ τὸν σῖτον ὁ ἵππος, φανερὸν γίγνεται. τούτου δ᾽ ἄν*
*τις αἰσθανόμενος γιγνώσκοι, ὅτι ἢ τὸ σῶμα ὑπεραιμοῦν*
*δεῖται θεραπείας, ἢ κόπου ἐνόντος δεῖται ἀναπαύσεως, ἢ*
*κριθίασις ἢ ἄλλη τις ἀρρωστία ὑποδύεται. ἔστι δὲ ὥσπερ*
*ἀνθρώπῳ οὕτω καὶ ἵππῳ ἀρχόμενα πάντα εὐιατότερα ἢ*
*ἐπειδὰν ἐνσκιρωθῇ τε καὶ ἐξαμαρτηθῇ τὰ νοσήματα.*
*Ὥσπερ δὲ τοῦ ἵππου σίτου τε καὶ γυμνασιῶν ἐπιμελη-* 3
*τέον, ὅπως ἂν τὸ σῶμα ἰσχύῃ, οὕτω καὶ τοὺς πόδας ἀσκη-*
*τέον. τὰ μὲν τοίνυν ὑγρά τε καὶ λεῖα τῶν σταθμῶν λυμαί-*
*νεται καὶ ταῖς εὐφυέσιν ὁπλαῖς· τὰ δέ, ὡς μὲν μὴ ὑγρὰ*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id404263895/17 UNIVERSITÄT LEIPZIG

εἶναι, ἀπόρρυτα, ὡς δὲ μὴ λεῖα, λίθους ἔχοντα κατορωρυγμένους πρὸς ἀλλήλους, παραπλησίους ὁπλαῖς τὸ μέγεθος – τὰ γὰρ τοιαῦτα σταθμὰ καὶ ἐφεστηκότων ἅμα στερεοῖ
4 τοὺς πόδας. ἔπειτά γε μὴν τῷ ἱπποκόμῳ ἐξακτέον μὲν τὸν ἵππον, ὅπου ψήξει, μεταδετέον δὲ μετὰ τὸ ἄριστον ἀπὸ τῆς φάτνης, ἵν' ἥδιον ἐπὶ τὸ δεῖπνον ἴῃ. ὧδε δ' ἂν αὖ ὁ ἔξω σταθμὸς βέλτιστος εἴη καὶ τοὺς πόδας καρτερύνοι, εἰ λίθων στρογγύλων ἀμφιδόχμων ὅσον μναϊαίων ἁμάξας τέτταρας καὶ πέντε χύδην καταβάλοι, περιχειλώσας σιδήρῳ, ὡς ἂν μὴ σκεδαννύωνται· ἐπὶ γὰρ τούτων ἑστηκὼς ὥσπερ ἐν ὁδῷ λιθώδει ἀεὶ μέρος τῆς ἡμέρας πορεύοιτο ⟨ἄν⟩· ἀνάγκη δὲ καὶ ψηχόμενον καὶ μυωπιζόμενον χρῆσθαι ταῖς ὁπλαῖς καθάπερ ὅταν βαδίζῃ. καὶ τὰς χελιδόνας δὲ τῶν ποδῶν οἱ οὕτω κεχυμένοι λίθοι στερεοῦσιν. ὡς δὲ περὶ τῶν ὁπλῶν ὅπως στερεαὶ ἔσονται ἐπιμελητέον, οὕτω καὶ

*τὰ περὶ τὸ στόμα αὖ, ὅπως μαλακὰ ἔσται, ἐπιμελεῖσθαι δεῖ. τὰ δ᾽ αὐτὰ ἀνθρώπου τε σάρκα καὶ ἵππου στόμα ἁπαλύνει.*

## 5

*Ἱππικοῦ δὲ ἀνδρὸς ἡμῖν δοκεῖ εἶναι καὶ τὸν ἱπποκόμον* 1
*πεπαιδευκέναι, ἃ δεῖ περὶ τὸν ἵππον πράττειν. πρῶτον*
*μὲν τοίνυν τῆς ἐπιφατνιδίας φορβειᾶς ἐπίστασθαι αὐτὸν*
*δεῖ μήποτε τὸ ἅμμα ποιεῖσθαι, ἔνθαπερ ἡ κορυφαία περι-*
*τίθεται. πολλάκις γὰρ κνῶν ὁ ἵππος ἐπὶ τῇ φάτνῃ τὴν*
*κεφαλήν, εἰ μὴ ἀσινὴς ἡ φορβειὰ περὶ τὰ ὦτα ἔσται, πολ-*
*λάκις ἂν ἕλκη ποιοίη. ἑλκουμένων γε μὴν τούτων ἀνάγκη*
*τὸν ἵππον καὶ περὶ τὸ χαλινοῦσθαι καὶ περὶ τὸ ψήχεσθαι*
*δυσκολώτερον εἶναι. ἀγαθὸν δὲ καὶ τὸ τετάχθαι τῷ ἱππο-* 2
*κόμῳ καθ᾽ ἡμέραν τὴν κόπρον καὶ τὰ ὑποστρώματα τοῦ*
*ἵππου ἐκφέρειν εἰς ἓν χωρίον. τοῦτο γὰρ ποιῶν αὐτός τ᾽*
*ἂν ῥᾷστα ἀπαλλάττοι καὶ ἅμα τὸν ἵππον ὠφελοίη. εἰδέναι* 3
*δὲ χρὴ τὸν ἱπποκόμον καὶ τὸν κημὸν περιτιθέναι τῷ*
*ἵππῳ, καὶ ὅταν ἐπὶ ψῆξιν καὶ ὅταν ἐπὶ κυλίστραν ἐξάγῃ.*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id404263895/19 UNIVERSITÄT LEIPZIG

καὶ ἀεὶ δέ, ὅποι ἂν ἀχαλίνωτον ἄγῃ, κημοῦν δεῖ. ὁ γὰρ κημὸς
ἀναπνεῖν μὲν οὐ κωλύει, δάκνειν δὲ οὐκ ἐᾷ· καὶ τὸ ἐπιβου-
4 λεύειν δὲ περικείμενος μᾶλλον ἐξαιρεῖ τῶν ἵππων. καὶ μὴν
δεσμεύειν τὸν ἵππον ἄνωθεν τῆς κεφαλῆς δεῖ· πάντα γάρ,
ὁπόσα ἂν δύσκολ᾽ ᾖ περὶ τὸ πρόσωπον, ὁ ἵππος ἐκνεύειν
πέφυκεν ἄνω. ἐκνεύων γε μὴν οὕτω δεδεμένος χαλᾷ μᾶλλον
5 ἢ διασπᾷ τὰ δεσμά. ἐπειδὰν δὲ ψήχῃ, ἄρχεσθαι μὲν ἀπὸ
τῆς κεφαλῆς καὶ τῆς χαίτης· μὴ γὰρ καθαρῶν τῶν ἄνω
ὄντων μάταιον τὰ κάτω καθαίρειν. ἔπειτα δὲ κατὰ μὲν τὸ
ἄλλο σῶμα πᾶσι τοῖς τῆς καθάρσεως ὀργάνοις ἀνιστάντα
δεῖ τὴν τρίχα σοβεῖν τὴν κόνιν κατὰ φύσιν τῆς τριχός· τῶν
δ᾽ ἐν τῇ ῥάχει τριχῶν ἄλλῳ μὲν ὀργάνῳ οὐδενὶ δεῖ ἅπτε-
σθαι, ταῖς δὲ χερσὶ τρίβειν καὶ ἁπαλύνειν, ᾗπερ φύσει κέ-
κλινται· ἥκιστα γὰρ ἂν βλάπτοι τὴν ἕδραν τοῦ ἵππου.
6 ὕδατι δὲ καταπλύνειν τὴν κεφαλὴν χρή· ὀστώδης γὰρ
οὖσα, εἰ σιδήρῳ ἢ ξύλῳ καθαίροιτο, λυποῖ ἂν τὸν ἵππον.
καὶ τὸ προκόμιον δὲ χρὴ βρέχειν· καὶ γὰρ αὗται εὐμήκεις
οὖσαι αἱ τρίχες ὁρᾶν μὲν οὐ κωλύουσι τὸν ἵππον, ἀποσο-
βοῦσι δὲ ἀπὸ τῶν ὀφθαλμῶν τὰ λυποῦντα. καὶ τὸν θεὸν δὲ
οἴεσθαι χρὴ δεδωκέναι ταύτας τὰς τρίχας ἵππῳ ἀντὶ μεγά-



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id404263895/20 UNIVERSITÄT LEIPZIG

*λων ὤτων, ἃ ὄνοις τε καὶ ἡμιόνοις ἔδοσεν ἀλεξητήρια πρὸ
τῶν ὀμμάτων. καὶ οὐρὰν δὲ καὶ χαίτην πλύνειν χρή, ἐπεί-* 7
*περ αὔξειν δεῖ τὰς τρίχας, τὰς μὲν ἐν τῇ οὐρᾷ, ὅπως ἐπὶ
πλεῖστον ἐξικνούμενος ἀποσοβῆται ὁ ἵππος τὰ λυποῦντα,
τὰς δὲ ἐν τῷ τραχήλῳ, ὅπως τῷ ἀναβάτῃ ὡς ἀφθονωτάτη
ἀντίληψις ᾖ. δέδοται δὲ παρὰ θεοῦ καὶ ἀγλαΐας ἕνεκεν* 8
*ἵππῳ χαίτη καὶ προκόμιόν τε καὶ οὐρά. τεκμήριον δέ· αἱ
γὰρ ἀγελαῖαι τῶν ἵππων οὐχ ὁμοίως ὑπομένουσι τοὺς
ὄνους ἐπὶ τῇ ὀχείᾳ, ἕως ἂν κομῶσιν· οὗ ἕνεκα καὶ ἀποκεί-
ρουσι πρὸς τὴν ὀχείαν τὰς ἵππους ἅπαντες οἱ ὀνοβατοῦν-
τες. τήν γε μὴν τῶν σκελῶν κατάπλυσιν ἀφαιροῦμεν·* 9
*ὠφελεῖ μὲν γὰρ οὐδέν, βλάπτει δὲ τὰς ὁπλὰς ἡ καθ᾽ ἑκά-
στην ἡμέραν βρέξις· καὶ τὴν ὑπὸ γαστέρα δὲ ἄγαν κάθαρ-
σιν μειοῦν χρή· αὕτη γὰρ λυπεῖ μὲν μάλιστα τὸν ἵππον,
ὅσῳ δ᾽ ἂν καθαρώτερα ταῦτα γένηται, τοσούτῳ πλείονα τὰ
λυποῦντα ἁθροίζει ὑπὸ τὴν γαστέρα· ἢν δὲ διαπονήσηταί* 10
*τις ταῦτα, οὐ φθάνει τ᾽ ἐξαγόμενος ὁ ἵππος καὶ εὐθὺς
ὅμοιός ἐστι τοῖς ἀκαθάρτοις. ταῦτα μὲν οὖν ἐᾶν χρή· ἀρκεῖ
δὲ καὶ ἡ τῶν σκελῶν ψῆξις αὐταῖς ταῖς χερσὶ γιγνομένη.*

## 6

*Δηλώσομεν δὲ καὶ τοῦτο, ὡς ἂν ἀβλαβέστατα μέν τις* 1
*ἑαυτῷ, τῷ δ᾽ ἵππῳ ὠφελιμώτατα ψήχοι. ἢν μὲν γὰρ ἐς τὸ*

αὐτὸ βλέπων τῷ ἵππῳ καθαίρῃ, κίνδυνος καὶ τῷ γόνατι
2 καὶ τῇ ὁπλῇ ἐς τὸ πρόσωπον πληγῆναι· ἢν δὲ ἀντία τῷ
ἵππῳ ὁρῶν καὶ ἔξω τοῦ σκέλους, ὅταν καθαίρῃ, κατὰ τὴν
ὠμοπλάτην καθίζων ἀποτρίβῃ, οὕτω πάθοι μὲν ἂν οὐ-
δέν, δύναιτο δ᾽ ἂν καὶ τὴν χελιδόνα τοῦ ἵππου θερα-
πεύειν ἀναπτύσσων τὴν ὁπλήν. ὡς δ᾽ αὔτως καὶ τὰ
3 ὄπισθεν σκέλη καθαιρέτω. εἰδέναι δὲ χρὴ τὸν περὶ τὸν
ἵππον, ὅτι καὶ ταῦτα καὶ τἆλλα πάντα, ὅσα πράττειν δεῖ,
ὡς ἥκιστα χρὴ κατὰ τὸ πρόσωπόν τε καὶ οὐρὰν ἀντίον
ἑαυτὸν ποιήσαντα προσιέναι· ἢν γὰρ ἐπιχειρῇ ἀδικεῖν,
κατ᾽ ἀμφότερα ταῦτα κρείττων ὁ ἵππος ἀνθρώπου. ἐκ
πλαγίου δ᾽ ἄν τις προσιὼν ἀβλαβέστατα μὲν ἑαυτῷ, πλεῖ-
4 στα δ᾽ ἂν ἵππῳ δύναιτο χρῆσθαι. ἐπειδὰν δὲ ἄγειν δέῃ τὸν
ἵππον, τὴν μὲν ὄπισθεν ἀγωγὴν διὰ τάδε οὐκ ἐπαινοῦμεν,
ὅτι τῷ μὲν ἄγοντι οὕτως ἥκιστα ἔστι φυλάξασθαι, τῷ δὲ
5 ἵππῳ οὕτω μάλιστα ἔξεστι ποιῆσαι, ὅ τι ἂν βούληται. τὸ
δ᾽ αὖ ἔμπροσθεν μακρῷ τῷ ἀγωγεῖ προϊόντα διδάσκειν
ὑφηγεῖσθαι τὸν ἵππον διὰ τάδε αὖ ψέγομεν· ἔξεστι μὲν
γὰρ τῷ ἵππῳ καὶ καθ᾽ ὁπότερ᾽ ἂν βούληται τῶν πλαγίων
κακουργεῖν, ἔξεστι δὲ ἀναστρεφόμενον ἀντίον γίγνεσθαι
6 τῷ ἄγοντι. ἀθρόοι δὲ δὴ ἵπποι πῶς ἄν ποτε ἀλλήλων
δύναιντο ἀπέχεσθαι οὕτως ἀγόμενοι; ἐκ πλαγίου δὲ ἵππος

*ἐθισθεὶς παράγεσθαι ἥκιστα μὲν ἂν καὶ ἵππους καὶ ἀνθρώ-*
*πους δύναιτ᾽ ἂν κακουργεῖν, κάλλιστα δ᾽ ἂν παρεσκευασ-*
*μένος τῷ ἀναβάτῃ εἴη, καὶ εἴ ποτε ἐν τάχει ἀναβῆναι δεή-*
*σειεν. ἵνα δὲ ὁ ἱπποκόμος καὶ τὸν χαλινὸν ὀρθῶς ἐμβάλῃ,* **7**
*πρῶτον μὲν προσίτω κατὰ τὰ ἀριστερὰ τοῦ ἵππου· ἔπειτα*
*τὰς μὲν ἡνίας περιβαλὼν περὶ τὴν κεφαλὴν καθέτω ἐπὶ τῇ*
*ἀκρωμίᾳ, τὴν δὲ κορυφαίαν τῇ δεξιᾷ αἱρέτω, τὸ δὲ στόμιον*
*τῇ ἀριστερᾷ προσφερέτω. κἂν μὲν δέχηται, δῆλον ὅτι περι-* **8**
*τιθέναι δεῖ τὸν κεκρύφαλον· ἐὰν δὲ μὴ ὑποχάσκῃ, ἔχοντα*
*δεῖ πρὸς τοῖς ὀδοῦσι τὸν χαλινὸν τὸν μέγαν δάκτυλον τῆς*
*ἀριστερᾶς χειρὸς εἴσω τῆς γνάθου τῷ ἵππῳ ποιῆσαι. οἱ*
*γὰρ πολλοὶ τούτου γιγνομένου χαλῶσι τὸ στόμα. ἢν δὲ*
*μηδ᾽ οὕτω δέχηται, πιεσάτω τὸ χεῖλος περὶ τῷ κυνόδοντι·*
*καὶ πάνυ τινὲς ὀλίγοι οὐ δέχονται τοῦτο πάσχοντες. δε-* **9**
*διδάχθω δὲ καὶ τάδε ὁ ἱπποκόμος, πρῶτον μὲν μήποτε*
*ἄγειν τῆς ἡνίας τὸν ἵππον· τοῦτο γὰρ ἑτερογνάθους ποιεῖ·*
*ἔπειτα δὲ ὅσον δεῖ ἀπέχειν τὸν χαλινὸν τῶν γνάθων. ὁ μὲν*
*γὰρ ἄγαν πρὸς αὐταῖς τυλοῖ τὸ στόμα, ὥστε μὴ εὐαίσθη-*
*τον εἶναι, ὁ δὲ ἄγαν εἰς ἄκρον τὸ στόμα καθιέμενος ἐξου-*
*σίαν παρέχει συνδάκνοντι τὸ στόμιον μὴ πείθεσθαι. χρὴ* **10**
*δὲ τὸν ἱπποκόμον καὶ τὰ τοιάδε παρατηρεῖν, εἰ μὴ ῥᾳδίως*
*τὸν χαλινὸν ὁ ἵππος δέχεται αἰσθανόμενος, ὅτι δεῖ πονεῖν.*
*οὕτω γὰρ δὴ μέγα ἐστὶ τὸ λαμβάνειν ἐθέλειν τὸν ἵππον τὸν*
*χαλινόν, ὡς ὁ μὴ δεχόμενος παντάπασιν ἄχρηστος. ἢν δὲ* **11**
*μὴ μόνον, ὅταν πονεῖν μέλλῃ, χαλινῶται, ἀλλὰ καὶ ὅταν*
*ἐπὶ τὸν σῖτον καὶ ὅταν ἐξ ἱππασίας εἰς οἶκον ἀπάγηται,*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id404263895/23 UNIVERSITÄT LEIPZIG

*οὐδὲν ἂν εἴη θαυμαστόν, εἰ ἁρπάζοι τὸν χαλινὸν αὐτόματος*
12 *προτεινόμενον. ἀγαθὸν δὲ τὸν ἱπποκόμον καὶ ἀναβάλλειν*
*ἐπίστασθαι τὸν Περσικὸν τρόπον, ὅπως αὐτός τε ὁ δε-*
*σπότης, ἤν ποτε ἀρρωστήσῃ ἢ πρεσβύτερος γίγνηται, ἔχῃ*
*τὸν εὐπετῶς ἀναβιβάσοντα καὶ ἄλλῳ, ἤν τινι βούληται,*
*τὸν ἀναβαλοῦντα ἐπιχαρίσηται.*

13 *Τὸ δὲ μήποτε σὺν ὀργῇ τῷ ἵππῳ προσφέρεσθαι, ἓν*
*τοῦτο καὶ δίδαγμα καὶ ἔθισμα πρὸς ἵππον ἄριστον. ἀπρο-*
*νόητον γὰρ ἡ ὀργή, ὥστε πολλάκις ἐξεργάζεται, ὧν μετα-*
14 *μέλειν ἀνάγκη. καὶ ὅταν δὲ ὑποπτεύσας τι ὁ ἵππος μὴ*
*θέλῃ πρὸς τοῦτο προσιέναι, διδάσκειν δεῖ, ὅτι οὐ δεινόν*
*ἐστι, μάλιστα μὲν οὖν ἵππῳ εὐκαρδίῳ, εἰ δὲ μή, ἁπτόμενον*
*αὐτὸν τοῦ δεινοῦ δοκοῦντος εἶναι καὶ τὸν ἵππον πρᾴως*
15 *προσάγοντα. οἱ δὲ πληγαῖς ἀναγκάζοντες ἔτι πλείω φόβον*
*παρέχουσιν· οἴονται γὰρ οἱ ἵπποι, ὅταν τι χαλεπὸν πάσχω-*
*σιν ἐν τῷ τοιούτῳ, καὶ τούτου τὰ ὑποπτευόμενα αἴτια*
16 *εἶναι. ἐπειδάν γε μὴν ὁ ἱπποκόμος τὸν ἵππον παραδιδῷ τῷ*
*ἀναβάτῃ, τὸ μὲν ἐπίστασθαι ὑποβιβάζεσθαι τὸν ἵππον,*
*ὥστε εὐπετὲς εἶναι ἀναβῆναι, οὐ μεμφόμεθα· τόν γε μέντοι*
*ἱππέα νομίζομεν χρῆναι μελετᾶν καὶ μὴ παρέχοντος ἵππου*
*δύνασθαι ἀναβαίνειν. ἄλλοτε μὲν γὰρ ἀλλοῖος ἵππος παρα-*
*πίπτει, ἄλλοτε δ' ἄλλως ὁ αὐτὸς ὑπηρετεῖ.*

## 7

1 *Ὅταν γε μὴν παραδέξηται τὸν ἵππον ὡς ἀναβησόμενος,*
*νῦν αὖ γράψομεν, ὅσα ποιῶν ὁ ἱππεὺς καὶ ἑαυτῷ καὶ τῷ*

ἵππῳ ὠφελιμώτατος ἂν ἐν τῇ ἱππικῇ εἴη. πρῶτον μὲν
τοίνυν τὸν ῥυταγωγέα χρὴ ἐκ τῆς ὑποχαλινιδίας ἢ ἐκ τοῦ
ψαλίου ἠρτημένον εὐτρεπῆ εἰς τὴν ἀριστερὰν χεῖρα λαβεῖν,
καὶ οὕτω χαλαρόν, ὡς μήτ᾽ ἂν [ἀνιὼν] τῶν τριχῶν παρὰ
τὰ ὦτα λαβόμενος μέλλῃ ἀναβήσεσθαι μήτ᾽ ἂν ἀπὸ δόρα-
τος ἀναπηδᾷ, σπᾶν τὸν ἵππον. τῇ δεξιᾷ δὲ τὰς ἡνίας παρὰ
τὴν ἀκρωμίαν λαμβανέτω ὁμοῦ τῇ χαίτῃ, ὅπως μηδὲ
καθ᾽ ἕνα τρόπον ἀναβαίνων σπάσῃ τῷ χαλινῷ τὸ στόμα
τοῦ ἵππου. ἐπειδὰν δὲ ἀνακουφίσῃ ἑαυτὸν εἰς τὴν ἀνάβασιν, 2
τῇ μὲν ἀριστερᾷ ἀνιμάτω τὸ σῶμα, τὴν δὲ δεξιὰν ἐκτείνων
συνεπαιρέτω ἑαυτὸν — οὕτω γὰρ ἀναβαίνων οὐδὲ ὄπισθεν
αἰσχρὰν θέαν παρέξει — συγκεκαμμένῳ δὲ τῷ σκέλει, καὶ
μηδὲ τὸ γόνυ ἐπὶ τὴν ῥάχιν τιθέτω τοῦ ἵππου, ἀλλ᾽ ὑπερ-
βησάτω ἐπὶ τὰς δεξιὰς πλευρὰς τὴν κνήμην. ὅταν δὲ περι-
ενέγκῃ τὸν πόδα, τότε καὶ τὼ γλουτὼ καθέτω ἐπὶ τὸν
ἵππον. ἢν δὲ τύχῃ ὁ ἱππεὺς τῇ μὲν ἀριστερᾷ ἄγων τὸν 3
ἵππον, τῇ δὲ δεξιᾷ τὸ δόρυ ἔχων, ἀγαθὸν μὲν ἡμῖν δοκεῖ
εἶναι τὸ καὶ ἐκ τῶν δεξιῶν μελετῆσαι ἀναπηδᾶν. μαθεῖν
δ᾽ οὐδὲν δεῖ ἄλλο ἤ, ἃ μὲν τότε τοῖς δεξιοῖς τοῦ σώματος
ἐποίει, τοῖς ἀριστεροῖς ποιεῖν, ἃ δὲ τότε τοῖς ἀριστεροῖς,
τοῖς δεξιοῖς. τούτου δ᾽ ἕνεκεν καὶ ταύτην ἐπαινοῦμεν τὴν 4
ἀνάβασιν, ὅτι ἅμα τε ἀναβεβηκὼς ἂν εἴη καὶ κατεσκευα-
σμένος πάντα, εἴ τι δέοι ἐξαίφνης πρὸς πολεμίους ἀγωνί-
ζεσθαι. ἐπειδάν γε μὴν καθέζηται ἐάν τε ἐπὶ ψιλοῦ ἐάν τε 5
ἐπὶ τοῦ ἐφιππίου, οὐ τὴν ὥσπερ ἐπὶ τοῦ δίφρου ἕδραν ἐπαι-

νοῦμεν, ἀλλὰ τὴν ὥσπερ εἰ ὀρθὸς ἂν διαβεβηκὼς εἴη τοῖν
σκελοῖν. τοῖν τε γὰρ μηροῖν οὕτως ἂν ἔχοιτο μᾶλλον τοῦ
ἵππου, καὶ ὀρθὸς ὢν ἐρρωμενεστέρως ἂν δύναιτο καὶ ἀκον-
6 τίσαι καὶ πατάξαι ἀπὸ τοῦ ἵππου, εἰ δέοι. χρὴ δὲ καὶ χαλα-
ρὰν ἀπὸ τοῦ γόνατος ἀφεῖσθαι τὴν κνήμην σὺν τῷ ποδί.
σκληρὸν μὲν γὰρ ἔχων τὸ σκέλος, εἰ προσκόψειέ τῳ, προσ-
κεκλασμένος ἂν εἴη· ὑγρὰ δὲ οὖσα ἡ κνήμη, εἴ τι καὶ
προσπίπτοι αὐτῇ, ὑπείκοι ἂν καὶ τὸν μηρὸν οὐδὲν μετακι-
7 νοίη. δεῖ δὲ τὸν ἱππέα καὶ τὸ ἄνωθεν τῶν ἑαυτοῦ ἰσχίων
σῶμα ὡς ὑγρότατον ἐθίζειν εἶναι. οὕτω γὰρ ἂν πονεῖν τε
ἔτι μᾶλλον δύναιτο καί, εἰ ἕλκοι τις αὐτὸν ἢ ὠθοίη, ἧττον
8 ἂν σφάλλοιτο. ἐπειδάν γε μὴν καθίζηται, πρῶτον μὲν ἠρε-
μεῖν δεῖ διδάσκειν τὸν ἵππον, ἕως ἂν καὶ ὑποσπάσηται, ἤν
τι δέηται, καὶ ἡνίας ἰσώσηται καὶ δόρυ λάβῃ, ὡς ἂν εὐφο-
ρώτατον εἴη. ἔπειτα δὲ ἐχέτω τὸν ἀριστερὸν βραχίονα
πρὸς ταῖς πλευραῖς· οὕτω γὰρ εὐσταλέστατός τε ὁ ἱππεύς
9 ἔσται καὶ ἡ χεὶρ ἐγκρατεστάτη. ἡνίας γε μὴν ἐπαινοῦμεν,
ὁποῖαι ἴσαι τέ εἰσι καὶ μὴ ἀσθενεῖς μηδὲ ὀλισθηραὶ μηδὲ
παχεῖαι, ἵνα καὶ τὸ δόρυ, ὅταν δέῃ, δέχεσθαι ἡ χεὶρ δύνη-
ται.

10 Ὅταν δὲ προχωρεῖν σημήνῃ τῷ ἵππῳ, βάδην μὲν ἀρ-
χέσθω· τοῦτο γὰρ ἀταρακτότατον. ἡνιοχείτω δέ, ἢν μὲν
κυφαγωγότερος ᾖ ὁ ἵππος, ἀνωτέρω ταῖς χερσίν, ἢν δὲ
μᾶλλον ἀνακεκυφώς, κατωτέρω· οὕτω γὰρ ἂν μάλιστα
11 κοσμοίη τὸ σχῆμα. μετὰ δὲ ταῦτα τὸν αὐτοφυῆ διατρο-
χάζων διαχαλῴη τ' ἂν ἀλυπότατα τὸ σῶμα καὶ εἰς τὸ ἐπι-



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id404263895/26 UNIVERSITÄT LEIPZIG

*ῥαβδοφορεῖν ἥδιστ᾽ ἂν ἀφικνοῖτο. ἐπειδήπερ καὶ ἀπὸ τῶν
ἀριστερῶν ἄρχεσθαι εὐδοκιμώτερον, ὧδ᾽ ἂν μάλιστα ἀπὸ
τούτων ἄρχοιτο, εἰ διατροχάζοντος μέν, ὁπότε ἀναβαίνοι
τῷ δεξιῷ, τότε σημαίνοι τῷ ἵππῳ τὸ ἐπιρραβδοφορεῖν. τὸ* **12**
*γὰρ ἀριστερὸν μέλλων αἴρειν ἐκ τούτου ἂν ἄρχοιτο, καὶ
ὁπότε ἐπὶ τὰ εὐώνυμα ἀναστρέφοι, τότε καὶ τῆς ἐπισκελί-
σεως ἄρχοιτο. καὶ γὰρ πέφυκεν ὁ ἵππος εἰς μὲν τὰ δεξιὰ
στρεφόμενος τοῖς δεξιοῖς ἀφηγεῖσθαι, εἰς εὐώνυμα δέ, τοῖς
ἀριστεροῖς.*

*Ἱππασίαν δ᾽ ἐπαινοῦμεν τὴν πέδην καλουμένην· ἐπ᾽ ἀμ-* **13**
*φοτέρας γὰρ τὰς γνάθους στρέφεσθαι ἐθίζει. καὶ τὸ μετα-
βάλλεσθαι δὲ τὴν ἱππασίαν ἀγαθόν, ἵνα ἀμφότεραι αἱ
γνάθοι καθ᾽ ἑκάτερον τῆς ἱππασίας ἰσάζωνται. ἐπαινοῦ-* **14**
*μεν δὲ καὶ τὴν ἑτερομήκη πέδην μᾶλλον τῆς κυκλοτεροῦς.
ἥδιον μὲν γὰρ οὕτως ⟨ἂν⟩ ἀναστρέφοιτο ὁ ἵππος ἤδη πλή-
ρης ὢν τοῦ εὐθέος, καὶ τό τε ὀρθοδρομεῖν καὶ τὸ ἀποκάμ-
πτειν ἅμα μελετῴη ἄν. δεῖ δὲ καὶ ὑπολαμβάνειν ἐν ταῖς* **15**
*στροφαῖς· οὐ γὰρ ῥᾴδιον τῷ ἵππῳ οὐδ᾽ ἀσφαλὲς ἐν τῷ
τάχει ὄντα κάμπτειν ἐν μικρῷ, ἄλλως τε κἂν ἀπόκροτον
ἢ ὀλισθηρὸν ᾖ τὸ χωρίον. ὅταν γε μὴν ὑπολαμβάνῃ, ὡς* **16**



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id404263895/27 UNIVERSITÄT LEIPZIG

ἥκιστα μὲν χρὴ τὸν ἵππον πλαγιοῦν τῷ χαλινῷ, ὡς ἥκιστα
δ' αὐτὸν πλαγιοῦσθαι. εἰ δὲ μή, εὖ χρὴ εἰδέναι, ὅτι μικρὰ
17 πρόφασις ἀρκέσει κεῖσθαι καὶ αὐτὸν καὶ τὸν ἵππον. ἐπει-
δάν γε μὴν ἐκ τῆς στροφῆς εἰς τὸ εὐθὺ βλέπῃ ὁ ἵππος, ἐν
τούτῳ πρὸς τὸ θᾶττον αὐτὸν ὁρμάτω. δῆλον γὰρ ὅτι καὶ
ἐν τοῖς πολέμοις αἱ στροφαί εἰσιν τοῦ διώκειν ἢ τοῦ ἀποχω-
ρεῖν ἕνεκα. ἀγαθὸν οὖν τὸ στραφέντα ταχύνειν μελετᾶν.
18 ὅταν δὲ ἱκανῶς ἤδη δοκῇ τὸ γυμνάσιον τῷ ἵππῳ ἔχειν,
ἀγαθὸν καὶ διαναπαύσαντα ὁρμῆσαι αὖθις εἰς τὸ τάχιστον,
καὶ ἀφ' ἵππων μέντοι, μὴ πρὸς ἵππους· καὶ ἐκ τοῦ ταχέος
αὖ ὡς ἐγγυτάτω ἠρεμίζειν, καὶ ἐκ τοῦ ἑστάναι δὲ στρέψαν-
τα δεῖ πάλιν ὁρμᾶν· πρόδηλον γὰρ ὅτι ἔσται ποτὲ ὅτε
ἑκάστου τούτων δεήσει.
19 Ὅταν γε μὴν καταβαίνειν ἤδη καιρὸς ᾖ, μήτε ἐν ἵπποις
ποτὲ καταβαίνειν μήτε παρὰ σύστασιν ἀνθρώπων μήτ'
ἔξω τῆς ἱππασίας, ἀλλ' ὅπουπερ καὶ πονεῖν ἀναγκάζεται
ὁ ἵππος, ἐνταῦθα καὶ τῆς ῥᾳστώνης τυγχανέτω.

## 8

1 Ἐπειδήπερ ἔστιν ὅπου τρέχειν δεήσει τὸν ἵππον καὶ
πρανῆ καὶ ὄρθια καὶ πλάγια, ἔστι δ' ὅπου διαπηδᾶν, ἔστι
δ' ὅπου καὶ ἐκπηδᾶν, ἔνθα δὲ καθάλλεσθαι, καὶ ταῦτα
πάντα διδάσκειν τε δεῖ καὶ μελετᾶν καὶ αὐτὸν καὶ τὸν
ἵππον. οὕτω γὰρ ἂν σωτήριοί τε εἶεν ἀλλήλοις καὶ καθ-
2 όλου χρησιμώτεροι ἂν δοκοῖεν εἶναι. εἰ δέ τις διλογεῖν
ἡμᾶς οἴεται, ὅτι περὶ τῶν αὐτῶν λέγομεν νῦν τε καὶ πρό-



SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id404263895/28
UNIVERSITÄT LEIPZIG

*σθεν, οὐ διλογία ταῦτ᾿ ἐστιν. ὅτε μὲν γὰρ ἐωνεῖτο, πει-
ρᾶσθαι ἐκελεύομεν, εἰ δύναιτο ὁ ἵππος ταῦτα ποιεῖν· νῦν
δὲ διδάσκειν φαμὲν χρῆναι τὸν ἑαυτοῦ καὶ γράψομεν, ὡς
δεῖ διδάσκειν. τὸν μὲν γὰρ παντάπασιν ἄπειρον τοῦ δια-* **3**
*πηδᾶν λαβόντα δεῖ τοῦ ἀγωγέως καταβεβλημένου προ-
διαβῆναι αὐτὸν τὴν τάφρον, ἔπειτα δὲ ἐντείνειν δεῖ τῷ
ἀγωγεῖ, ὡς διάλληται. ἢν δὲ μὴ ἐθέλῃ, ἔχων τις μάστιγα ἢ* **4**
*ῥάβδον ἐμβαλέτω ὡς ἰσχυρότατα· καὶ οὕτως ὑπεραλεῖται
οὐ τὸ μέτρον, ἀλλὰ πολὺ πλεῖον τοῦ καιροῦ· καὶ τὸ λοιπὸν
οὐδὲν δεήσει παίειν, ἀλλ᾿ ἢν μόνον ἴδῃ ὄπισθέν τινα ἐπ-
ελθόντα, ἁλεῖται. ἐπειδὰν δὲ οὕτω διαπηδᾶν ἐθισθῇ, καὶ* **5**
*ἀναβεβηκὼς ἐπαγέτω τὸ μὲν πρῶτον ⟨ἐπὶ⟩ μικρὰς ἔπειτα
δὲ καὶ ⟨ἐπὶ⟩ μείζους. ὅταν δὲ μέλλῃ πηδᾶν, παισάτω
αὐτὸν τῷ μύωπι. ὡσαύτως δὲ καὶ τὸ ἀναπηδᾶν καὶ κατα-
πηδᾶν διδάσκειν ⟨δεῖ⟩ παίσαντα τῷ μύωπι. ἀθρόῳ γὰρ
τῷ σώματι ταῦτα πάντα ποιῶν καὶ ἑαυτῷ ὁ ἵππος καὶ
τῷ ἀναβάτῃ ἀσφαλέστερον ποιήσει μᾶλλον ἢ ἂν ἐλλείπῃ
τὰ ὄπισθεν ἢ διαπηδῶν ἢ ἀνορούων ἢ καθαλλόμενος. εἴς* **6**
*γε μὴν τὸ κάταντες πρῶτον χρὴ ἐν μαλακῷ χωρίῳ διδά-
σκειν, καὶ τελευτῶν, ἐπειδὰν τοῦτο ἐθισθῇ, πολὺ ἥδιον τὸ
πρανὲς τοῦ ὀρθίου δραμεῖται. ἃ δὲ φοβοῦνταί τινες, μὴ
ἀπορρηγνύωνται τοὺς ὤμους κατὰ τὰ πρανῆ ἐλαυνόμενοι,
μαθέτωσαν, ὅτι Πέρσαι καὶ Ὀδρύσαι ἅπαντες τὰ κατάντη*

ἁμιλλώμενοι οὐδὲν ἧττον τῶν Ἑλλήνων ὑγιεῖς τοὺς ἵππους
ἔχουσι.
7 Παρήσομεν δὲ οὐδέ, ὅπως τὸν ἀναβάτην ὑπηρετεῖν δεῖ
πρὸς ἕκαστα τούτων. χρὴ γὰρ ὁρμῶντος μὲν ἐξαίφνης τοῦ
ἵππου προνεύειν· ἧττον γὰρ ἂν καὶ ὑποδύοι ὁ ἵππος καὶ
ἀναβάλλοι τὸν ἀναβάτην· ἐν μικρῷ δὲ ἀναλαμβανομένου
8 ἀναπίπτειν· ἧττον γὰρ ἂν αὐτὸς κόπτοιτο. τάφρον δὲ διαλ-
λομένου καὶ πρὸς ὄρθιον ἱεμένου καλὸν χαίτης ἐπιλαμβά-
νεσθαι, ὡς μὴ ὁ ἵππος τῷ τε χωρίῳ ἅμα καὶ τῷ χαλινῷ
βαρύνηται. εἴς γε μὴν τὸ πρανὲς καὶ ἑαυτὸν ὑπτιώτερον
ποιητέον καὶ τοῦ ἵππου ἀντιληπτέον τῷ χαλινῷ, ὡς μὴ
προπετῶς εἰς τὸ κάταντες μήτε αὐτὸς μήτε ὁ ἵππος φέρηται.
9 Ὀρθῶς δ' ἔχει καὶ τὸ ἄλλοτε μὲν ἐν ἄλλοις τόποις, ἄλ-
λοτε δὲ μακράς, ἄλλοτε δὲ βραχείας τὰς ἱππασίας ποιεῖ-
σθαι. ἀμισέστερα γὰρ καὶ ταῦτα τῷ ἵππῳ τοῦ ἀεὶ ἐν τοῖς
10 αὐτοῖς τόποις καὶ ὁμοίας τὰς ἱππασίας ποιεῖσθαι. ἐπεὶ δὲ
δεῖ ἐν παντοίοις τε χωρίοις τὸν ἱππότην ἀνὰ κράτος ἐλαύ-
νοντα ἔποχον εἶναι καὶ ἀπὸ τοῦ ἵππου τοῖς ὅπλοις καλῶς
δύνασθαι χρῆσθαι, ὅπου μέν ἐστι χωρία ἐπιτήδεια καὶ
θηρία, ἄμεμπτος ἡ ἐν θήραις μελέτη τῆς ἱππικῆς· ὅπου δὲ
ταῦτα μὴ ὑπάρχει, ἀγαθὴ ἄσκησις καὶ ἣν δύο ἱππότα συν-
τιθεμένω ὁ μὲν φεύγῃ ἐπὶ τοῦ ἵππου παντοῖα χωρία καὶ τὸ
δόρυ εἰς τοὔπισθεν μεταβαλλόμενος ὑποχωρῇ, ὁ δὲ διώκῃ
ἐσφαιρωμένα τε ἔχων ἀκόντια καὶ δόρυ ὡσαύτως πεπραγ-
ματευμένον, καὶ ὅπου μὲν ἂν εἰς ἀκόντιον ἀφικνῆται,



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id404263895/30 UNIVERSITÄT LEIPZIG

ἀκοντίζῃ τὸν φεύγοντα τοῖς σφαιρωτοῖς, ὅπου δ᾿ ἂν εἰς δό-
ρατος πληγήν, τῷ δόρατι παίῃ τὸν ἁλισκόμενον. ἀγαθὸν 11
δὲ κἂν ποτε συμπέσωσιν, ἑλκύσαντας ἐφ᾿ ἑαυτὸν τὸν πο-
λέμιον ἐξαίφνης ἀπῶσαι· τοῦτο γὰρ καταβλητικόν. ὀρθῶς
δὲ ἔχει καὶ τῷ ἑλκομένῳ ἐπελαύνειν τὸν ἵππον· τοῦτο γὰρ
ποιῶν ὁ ἑλκόμενος καταβάλοι ἂν μᾶλλον τὸν ἕλκοντα ἢ
καταπέσοι. ἢν δέ ποτε καὶ στρατοπέδου ἀντικαθημένου 12
ἀνθιππεύωσιν ἀλλήλοις καὶ διώκωσι μὲν μέχρι τῆς πολε-
μίας φάλαγγος τοὺς ἀντίους, φεύγωσι δὲ μέχρι τῆς φιλίας,
ἀγαθὸν καὶ ἐνταῦθα ἐπίστασθαι, ὅτι, ἕως μὲν ἂν παρὰ
τοὺς φίλους τις ᾖ, καλὸν καὶ ἀσφαλὲς τὸ ἐν πρώτοις ἀνα-
στρέψαντα ἀνὰ κράτος ἐπικεῖσθαι, ὅταν δ᾿ ἐγγὺς τῶν
ἐναντίων γίγνηται, ὑποχείριον τὸν ἵππον ἔχειν. οὕτω γὰρ
ἂν ὡς τὸ εἰκὸς μάλιστα δύναιτο βλάπτων τοὺς ἐναντίους
μὴ βλάπτεσθαι ὑπ᾿ αὐτῶν. ἀνθρώποις μὲν οὖν ἄνθρωπον 13
ἔδοσαν οἱ θεοὶ λόγῳ διδάσκειν, ἃ δεῖ ποιεῖν, ἵππον δὲ δῆλον
ὅτι λόγῳ μὲν οὐδὲν ἂν διδάξαις· ἢν δέ, ὅταν μὲν ποιήσῃ,
ὡς ἂν βούλοιο, ἀντιχαρίσῃ τι αὐτῷ, ὅταν δὲ ἀπειθῇ, κολά-
σῃς, οὕτω μάλιστ᾿ ἂν μάθοι τὸ δέον ὑπηρετεῖν. καὶ ἔστι 14
μὲν τοῦτο ἐν βραχεῖ εἰπεῖν δι᾿ ὅλης τῆς ἱππικῆς παρακολου-
θοῦν. καὶ γὰρ χαλινὸν μᾶλλον ἂν λαμβάνοι, εἰ, ὁπότε δέ-
ξαιτο, ἀγαθόν τι αὐτῷ ἀποβαίνοι· καὶ διαπηδῴη δ᾿ ἂν καὶ
ἐξάλλοιτο καὶ τἆλλα πάντα ὑπηρετοίη ἄν, εἰ προσδοκῴη,
ὁπότε τὰ σημαινόμενα πράξοι, ῥᾳστώνην τινά.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id404263895/31 UNIVERSITÄT LEIPZIG

## 9

1 *Καὶ τὰ μὲν δὴ εἰρημένα ταῦτ᾿ ἐστιν, ὡς ἂν ἥκιστα μὲν
ἐξαπατῷτο καὶ πῶλον καὶ ἵππον ὠνούμενος, ἥκιστα δ᾿ ἂν
διαφθείραι χρώμενος, μάλιστα δ᾿ ἂν ἵππον ἀποδεικνύοι,
εἰ δέοι, ἔχοντα, ὧν ἱππεὺς δεῖται εἰς πόλεμον.*

*Καιρὸς δ᾿ ἴσως γράψαι καί, εἴ ποτε συμβαίη θυμοει-
δεστέρῳ ἵππῳ τοῦ καιροῦ χρῆσθαι ἢ βλακωδεστέρῳ, ὡς
ἂν ὀρθότατα ἑκατέρῳ χρῷτο. πρῶτον μὲν τοίνυν χρὴ τοῦ-
το γνῶναι, ὅτι ἐστὶ θυμὸς ἵππῳ, ὅπερ ὀργὴ ἀνθρώπῳ.*
2 *ὥσπερ οὖν καὶ ἄνθρωπον ἥκιστ᾿ ἂν ὀργίζοι τις [ὁ] μήτε
λέγων χαλεπὸν μηδὲν μήτε ποιῶν, οὕτω καὶ ἵππον θυμοει-*
3 *δῆ ὁ μὴ ἀνιῶν ἥκιστ᾿ ἂν ἐξοργίζοι. εὐθὺς μὲν οὖν χρὴ ἐν
τῇ ἀναβάσει ἐπιμελεῖσθαι, ὡς ἂν ἥκιστ᾿ ἀναβαίνων λυποῖ.
ἐπειδὰν δὲ ἀναβῇ, ἠρεμήσαντα πλείω χρόνον ἢ τὸν ἐπιτυ-
χόντα οὕτω προκινεῖν αὐτὸν ὡς πρᾳοτάτοις σημείοις·
ἔπειτα δ᾿ ἐκ τοῦ βραδυτάτου ἀρχόμενον οὕτως αὖ εἰς τὸ
θᾶττον προάγειν, ὡς ἂν μάλιστα λανθάνοι αὐτὸν ὁ ἵππος*
4 *εἰς τὸ ταχὺ ἀφικνούμενος. ὅ τι δ᾿ ἂν ἐξαίφνης σημήνῃ,
θυμοειδῆ ἵππον ὥσπερ ἄνθρωπον ταράττει τὰ ἐξαπίναια
καὶ ὁράματα καὶ ἀκούσματα καὶ παθήματα. εἰδέναι δὲ*
5 *χρή, ὅτι καὶ ἵππῳ τὰ ἐξαπίναια τάραχον ἐξεργάζεται. ἢν*

δὲ καὶ εἰς τὸ θᾶττον ὁρμώμενον τοῦ καιροῦ ὑπολαμβάνειν
βούλῃ τὸν θυμοειδῆ, οὐ δεῖ ἐξαπιναίως σπᾶν, ἀλλ᾽ ἠρε-
μαίως προσάγεσθαι τῷ χαλινῷ, πραΰνοντα, οὐ βιαζόμενον
ἠρεμεῖν. καὶ αἵ τε μακραὶ ἐλάσεις μᾶλλον ἢ αἱ πυκναὶ 6
ἀποστροφαὶ πραΰνουσι τοὺς ἵππους,καὶ αἱ ἡσυχαῖαι μέν,
πολὺν δὲ χρόνον καθέψουσι καὶ πραΰνουσι καὶ οὐκ ἀνεγεί-
ρουσι τὸν θυμοειδῆ. εἰ δέ τις οἴεται, ἢν ταχὺ καὶ πολλὰ 7
ἐλαύνηται, ἀπειπεῖν ποιήσας τὸν ἵππον πραϋνεῖν, τἀναντία
γιγνώσκει τοῦ γιγνομένου. ἐν γὰρ τοῖς τοιούτοις ὁ θυμοει-
δὴς καὶ ἄγειν βίᾳ μάλιστα ἐπιχειρεῖ καὶ σὺν τῇ ὀργῇ,
ὥσπερ ἄνθρωπος ὀργίλος, πολλάκις καὶ ἑαυτὸν καὶ τὸν
ἀναβάτην πολλὰ ἀνήκεστα ἐποίησεν. ἐπιλαμβάνειν δὲ 8
χρὴ ἵππον θυμοειδῆ καὶ τοῦ εἰς τὸ τάχιστον ὁρμᾶν, τοῦ
δὲ δὴ παραβάλλειν ἵππῳ καὶ παντάπασιν ἀπέχεσθαι· σχε-
δὸν γὰρ οἱ θυμοειδέστατοι καὶ φιλονικότατοι τῶν ἵππων
γίγνονται. καὶ χαλινοὶ δὲ οἱ λεῖοι ἐπιτηδειότεροι τῶν 9
τραχέων. ἐὰν δὲ καὶ τραχὺς ἐμβληθῇ, τῇ χαλαρότητι
λείῳ δεῖ αὐτὸν ἀφομοιοῦν. ἀγαθὸν δὲ ἐθίζειν αὐτὸν
καὶ τὸ ἠρεμεῖν, μάλιστα ἐπὶ θυμοειδοῦς ἵππου, καὶ τὸ
ὡς ἥκιστα ἄλλῳ τινὶ ἅπτεσθαι ἢ οἷς τοῦ καθῆσθαι
ἀσφαλῶς ἕνεκα ἁπτόμεθα.

Εἰδέναι δὲ χρή, ὅτι δίδαγμά τί ἐστι καὶ τὸ ποππυσμῷ 10

μὲν πραΰνεσθαι, κλωγμῷ δὲ ἐγείρεσθαι. καὶ εἴ τις ἐξ
ἀρχῆς ἐπὶ μὲν κλωγμῷ τὰ πραέα, ἐπὶ δὲ ποππυσμῷ τὰ
χαλεπὰ προσφέροι, μάθοι ἂν ὁ ἵππος ποππυσμῷ μὲν
11 ἐγείρεσθαι, κλωγμῷ δὲ πραΰνεσθαι. οὕτως οὖν δεῖ καὶ
παρὰ κραυγὴν καὶ παρὰ σάλπιγγα μήτ᾽ αὐτὸν φαίνεσθαι
τεθορυβημένον τῷ ἵππῳ μήτε μὴν ἐκείνῳ θορυβῶδες μη-
δὲν προσφέρειν, ἀλλ᾽ εἰς τὸ δυνατὸν καὶ ἀναπαύειν ἐν τῷ
τοιούτῳ καὶ ἄριστα καὶ δεῖπνα, εἰ ἐγχωροίη, προσφέρειν.
12 κάλλιστον δὲ συμβούλευμα τὸ ἄγαν θυμοειδῆ ἵππον μὴ
κτᾶσθαι εἰς πόλεμον. βλακὶ γε μὴν ἵππῳ ἀρκεῖν μοι δοκεῖ
γράψαι πάντα τἀναντία ποιεῖν, ὅσα τῷ θυμοειδεῖ χρῆσθαι
συμβουλεύομεν.

## 10

1 Ἢν δέ τίς ποτε βουληθῇ χρῆσθαι τῷ χρησίμῳ εἰς πό-
λεμον ἵππῳ ὡς μεγαλοπρεπεστέρῳ τε καὶ περιβλεπτοτέρῳ
ἱππάζεσθαι, τοῦ μὲν ἕλκειν τε τὸ στόμα τῷ χαλινῷ καὶ
μυωπίζειν τε καὶ μαστιγοῦν τὸν ἵππον, ἃ οἱ πολλοὶ
ποιοῦντες λαμπρύνειν οἴονται, ἀπέχεσθαι δεῖ· πάντα γὰρ
2 τἀναντία οὗτοί γε ποιοῦσιν, ὧν βούλονται. τά τε γὰρ στό-
ματα ἕλκοντες ἄνω, ἀντὶ τοῦ προορᾶν ⟨ἐᾶν⟩, τυφλοῦσι



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id404263895/34 UNIVERSITÄT LEIPZIG

τοὺς ἵππους, καὶ μυωπίζοντες καὶ παίοντες ἐκπλήττουσιν,
ὡς τεταράχθαι καὶ κινδυνεύειν. ταῦτα δ' ἐστὶν ἵππων ἔργα
τῶν μάλιστα ἀχθομένων ἱππασίᾳ καὶ αἰσχρὰ καὶ οὐ καλὰ
ποιούντων. ἐὰν δέ τις διδάξῃ τὸν ἵππον ἐν χαλαρῷ μὲν τῷ 3
χαλινῷ ἱππεύειν, ἄνω δὲ τὸν αὐχένα διαίρειν, ἀπὸ δὲ τῆς
κεφαλῆς κυρτοῦσθαι, οὗτος ἂν ἀπεργάζοιτο ποιεῖν τὸν
ἵππον, οἷοισπερ καὶ αὐτὸς ἥδεταί τε καὶ ἀγάλλεται. τεκμή- 4
ριον δέ, ὅτι τούτοις ἥδεται· ὅταν γὰρ αὐτὸς σχηματοποιεῖ-
σθαι θέλῃ παρ' ἵππους, μάλιστα δὲ ὅταν παρὰ θηλείας,
τότε αἴρει τε τὸν αὐχένα ἄνω καὶ κυρτοῖ μάλιστα τὴν
κεφαλὴν γοργούμενος, καὶ τὰ μὲν σκέλη ὑγρὰ μετεωρίζει,
τὴν δὲ οὐρὰν ἄνω ἀνατείνει. ὅταν οὖν τις αὐτὸν εἰς ταῦτα 5
προάγῃ, ἅπερ αὐτὸς σχηματοποιεῖται, ὅταν μάλιστα καλ-
λωπίζηται, οὕτως ἡδόμενόν τε τῇ ἱππασίᾳ καὶ μεγαλοπρε-
πῆ καὶ γοργὸν καὶ περίβλεπτον ἀποφαίνει τὸν ἵππον. ὡς
οὖν ἡγούμεθα ταῦτ' ἂν ἀπεργασθῆναι νῦν αὖ πειρασόμεθα
διηγεῖσθαι.

Πρῶτον μὲν τοίνυν χρὴ οὐ μεῖον δυοῖν χαλινοῖν κεκτῆ- 6
σθαι. τούτων δὲ ἔστω ὁ μὲν λεῖος, τοὺς τροχοὺς εὐμεγέ-
θεις ἔχων, ὁ δ' ἕτερος τοὺς μὲν τροχοὺς καὶ βαρεῖς καὶ τα-
πεινούς, τοὺς δ' ἐχίνους ὀξεῖς, ἵνα, ὁπόταν μὲν τοῦτον

λάβῃ, ἀσχάλλων τῇ τραχύτητι διὰ τοῦτο ἀφίῃ, ὅταν δὲ τὸν
λεῖον μεταλάβῃ, τῇ μὲν λειότητι αὐτοῦ ἡσθῇ, ἃ δ᾽ ἂν ὑπὸ
7 τοῦ τραχέος παιδευθῇ, ταῦτα δὲ καὶ ἐν τῷ λείῳ ποιῇ. ἢν
δ᾽ αὖ καταφρονήσας τῆς λειότητος θαμινὰ ἀπερείδηται ἐν
αὐτῷ, τούτου ἕνεκα τοὺς τροχοὺς μεγάλους τῷ λείῳ προσ-
τίθεμεν, ἵνα χάσκειν ἀναγκαζόμενος ὑπ᾽ αὐτῶν ἀφίῃ τὸ
στόμιον. οἷόν τε δὲ καὶ τὸν τραχὺν κατακηροῦν καὶ κατει-
8 λεῖν τὰ κατατείνοντα. ὁποῖοι δ᾽ ἂν ὦσι χαλινοί, πάντες
ὑγροὶ ἔστωσαν. τὸν μὲν γὰρ σκληρόν, ὅπῃ ἂν ὁ ἵππος λάβῃ,
ὅλον ἔχει πρὸς ταῖς γνάθοις· ὥσπερ καὶ ὀβελίσκον, ὁπόθεν
9 ἄν τις λάβῃ, ὅλον αἴρει. ὁ δὲ ἕτερος ὥσπερ ἡ ἅλυσις ποιεῖ·
ὃ γὰρ ἂν ἔχῃ τις αὐτοῦ, τοῦτο μόνον ἄκαμπτον μένει, τὸ δὲ
ἄλλο ἀπήρτηται. τὸ δὲ φεῦγον ἐν τῷ στόματι ἀεὶ θηρεύων
ἀφίησιν ἀπὸ τῶν γνάθων τὸ στόμιον· τούτου ἕνεκα καὶ οἱ
κατὰ μέσον ἐκ τῶν ἀξόνων δακτύλιοι κρεμάννυνται, ὅπως
τούτους διώκων τῇ τε γλώττῃ καὶ τοῖς ὀδοῦσιν ἀμελῇ τοῦ
10 ἀναλαμβάνειν πρὸς τὰς γνάθους τὸν χαλινόν. εἰ δέ τις
ἀγνοεῖ, τί τὸ ὑγρὸν τοῦ χαλινοῦ καὶ τί τὸ σκληρόν, γράψο-
μεν καὶ τοῦτο. ὑγρὸν μὲν γάρ ἐστιν, ὅταν οἱ ἄξονες εὐρείας
καὶ λείας ἔχωσι τὰς συμβολάς, ὥστε ῥᾳδίως κάμπτεσθαι·

καὶ πάντα δέ, ὁπόσα περιτίθεται περὶ τοὺς ἄξονας, ἢν εὐρύ-
στομα ᾖ καὶ μὴ σύμπυκνα, ὑγρότερά ἐστιν. ἢν δὲ χαλεπῶς 11
ἕκαστα τοῦ χαλινοῦ διατρέχῃ καὶ συνθέῃ, τοῦτ᾽ ἐστὶ τὸ
σκληρὸν εἶναι. ὁποῖος δ᾽ ἂν τις ᾖ, τούτῳ τάδε γε πάντα
ταὐτὰ ποιητέον, ἤνπερ γε βούληται ἀποδείξασθαι τὸν
ἵππον, οἷονπερ εἴρηται. ἀνακρουστέον μὲν τὸ στόμα τοῦ 12
ἵππου οὔτε ἄγαν χαλεπῶς, ὥστ᾽ ἐκνεύειν, οὔτε ἄγαν ἡσύ-
χως, ὡς μὴ αἰσθάνεσθαι. ἐπειδὰν δὲ ἀνακρουόμενος αἴρῃ
τὸν αὐχένα, δοτέον εὐθὺς τὸν χαλινόν. καὶ τἆλλα δὲ δεῖ,
ὥσπερ οὐ παυόμεθα λέγοντες, ἐν ᾧ ἂν καλῶς ὑπηρετῇ,
χαρίζεσθαι τῷ ἵππῳ. καὶ ὅταν δ᾽ αἴσθηται ἡδόμενον τὸν 13
ἵππον τῇ τε ὑψηλαυχενίᾳ καὶ τῇ χαλαρότητι, ἐν τούτῳ
οὐδὲν δεῖ χαλεπὸν προσφέρειν ὡς πονεῖν ἀναγκάζοντα,
ἀλλὰ θωπεύειν ὡς παύσασθαι βουλόμενον· οὕτω γὰρ μάλι-
στα θαρρῶν πρόεισιν εἰς τὴν ταχεῖαν ἱππασίαν. ὡς δὲ καὶ 14
τῷ ταχὺ θεῖν ἵππος ἥδεται, τεκμήριον· ἐκφυγὼν γὰρ
οὐδεὶς βάδην πορεύεται, ἀλλὰ θεῖ. τούτῳ γὰρ πέφυκεν
ἥδεσθαι, ἢν μή τις πλείω τοῦ καιροῦ θεῖν ἀναγκάζῃ·
ὑπερβάλλον δὲ τὸν καιρὸν οὐδὲν τῶν πάντων ἡδὺ οὔτε
ἵππῳ οὔτε ἀνθρώπῳ.

Ὅταν γε μὴν εἰς τὸ ἱππάζεσθαι μετὰ τοῦ κυδροῦ ἀφ- 15
ιγμένος ᾖ, εἰθισμένος μὲν δήπου ἡμῖν ἦν ἐν τῇ πρώτῃ
ἱππασίᾳ ἐκ τῶν στροφῶν εἰς τὸ θᾶττον ὁρμᾶσθαι. ἢν δέ
τις τοῦτο μὲν μεμαθηκότος αὐτοῦ ἅμα ἀντιλαμβάνηταί τε

τῷ χαλινῷ καὶ σημήνῃ τῶν ὁρμητηρίων τι, οὕτως ὑπὸ μὲν τοῦ χαλινοῦ πιεσθείς, ὑπὸ δὲ τοῦ ὁρμᾶν σημανθῆναι † ἐγείρεται καὶ προβάλλεται μὲν τὰ στέρνα, αἴρει δὲ ἄνω τὰ σκέλη ὀργιζόμενος, οὐ μέντοι ὑγρά γε· οὐ γὰρ μᾶλλον,
16 ὅταν λυπῶνται, ὑγρῶς τοῖς σκέλεσιν ἵπποι χρῶνται. ἢν δέ τις οὕτως ἀνεζωπυρημένῳ αὐτῷ δῷ τὸν χαλινόν, ἐνταῦθ' ὑφ' ἡδονῆς τῷ διὰ τὴν χαλαρότητα τοῦ στομίου λελύσθαι νομίζειν, κυδρῷ μὲν τῷ σχήματι, ὑγροῖν δὲ τοῖν σκελοῖν γαυριώμενος φέρεται, παντάπασιν ἐκμιμούμενος τὸν πρὸς ἵππους καλλωπισμόν.

17 Καὶ οἱ θεώμενοι τὸν ἵππον τοιοῦτον ἀποκαλοῦσιν ἐλευθέριόν τε καὶ ἐθελουργὸν καὶ ἱππαστὴν καὶ θυμοειδῆ καὶ σοβαρὸν καὶ ἅμα ἡδύν τε καὶ γοργὸν ἰδεῖν. καὶ ταῦτα μὲν δή, ἢν τούτων τις ἐπιθυμήσῃ, μέχρι τούτων ἡμῖν γεγράφθω.

## 11

1 Ἢν δέ τις ἄρα βουληθῇ καὶ πομπικῷ καὶ μετεώρῳ καὶ λαμπρῷ ἵππῳ χρήσασθαι, οὐ μάλα μὲν τὰ τοιαῦτα ἐκ παντὸς ἵππου γίγνεται, ἀλλὰ δεῖ ὑπάρξαι αὐτῷ καὶ τὴν ψυχὴν



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id404263895/38 UNIVERSITÄT LEIPZIG

μεγαλόφρονα καὶ τὸ σῶμα εὔρωστον. οὐ μέντοι, ὅ 2
γε οἴονταί τινες, τὸν τὰ σκέλη ὑγρὰ ἔχοντα καὶ τὸ
σῶμα αἴρειν δυνήσεσθαι, οὕτως ἔχει· ἀλλὰ μᾶλλον, ὃς ἂν
τὴν ὀσφῦν ὑγράν τε καὶ βραχεῖαν καὶ ἰσχυρὰν ἔχῃ — καὶ οὐ
τὴν κατ᾽ οὐρὰν λέγομεν, ἀλλ᾽ ᾗ πέφυκε μεταξὺ τῶν πλευ-
ρῶν καὶ τῶν ἰσχίων κατὰ τὸν κενεῶνα –, οὗτος δυνήσεται
πόρρω ὑποτιθέναι τὰ ὀπίσθια σκέλη ὑπὲρ τὰ ἐμπρόσθια.
ἢν οὖν τις ὑποτιθέντος αὐτοῦ ἀνακρούῃ τῷ χαλινῷ, ὀκλά- 3
ζει μὲν τὰ ὀπίσθια ἐν τοῖς ἀστραγάλοις, αἴρει δὲ τὸ πρό-
σθεν σῶμα, ὥστε τοῖς ἐξ ἐναντίας φαίνεσθαι τὴν γαστέρα
καὶ τὰ αἰδοῖα. δεῖ δὲ καί, ὅταν ταῦτα ποιῇ, διδόναι αὐτῷ
τὸν χαλινόν, ὅπως τὰ κάλλιστα ἵππου ἑκών τε ποιῇ καὶ
δοκῇ τοῖς ὁρῶσιν. εἰσὶ μέντοι οἳ καὶ ταῦτα διδάσκουσιν οἱ 4
μὲν ῥάβδῳ ὑπὸ τοὺς ἀστραγάλους κρούοντες, οἱ δὲ καὶ
βακτηρίᾳ παρατρέχοντά τινα κελεύοντες ὑπὸ τὰς μηριαίας
παίειν. ἡμεῖς γε μέντοι τὸ κράτιστον τῶν διδασκαλίων 5
νομίζομεν, ὥσπερ ἀεὶ λέγομεν, ἢν ἐν παντὶ παρέπηται
τὸ ἐν ᾧ ἂν ποιήσῃ τῷ ἀναβάτῃ κατὰ γνώμην τυγχάνειν
ῥᾳστώνης παρ᾽ αὐτοῦ. ἃ μὲν γὰρ ὁ ἵππος ἀναγκαζόμενος 6
ποιεῖ, ὥσπερ καὶ Σίμων λέγει, οὔτ᾽ ἐπίσταται οὔτε καλά
ἐστιν οὐδὲν μᾶλλον ἢ εἴ τις ὀρχηστὴν μαστιγῶν καὶ κεν-
τρίζων ⟨ἀναγκάζοι⟩· πολὺ γὰρ ἂν πλείω ἀσχημονοίη ἢ
καλὰ ποιοίη ὁ τοιαῦτα πάσχων καὶ ἵππος καὶ ἄνθρωπος.
ἀλλὰ δεῖ ἀπὸ σημείων ἑκόντα πάντα τὰ κάλλιστα καὶ
λαμπρότατα ἐπιδείκνυσθαι. ἢν δὲ καί, ὅταν μὲν ἱππάζηται, 7
μέχρι πολλοῦ ἱδρῶτος ἐλαύνηται, ὅταν δὲ καλῶς μετεωρίζῃ
ἑαυτόν, ταχύ τε καταβαίνηται καὶ ἀποχαλινῶται, εὖ χρὴ



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id404263895/39 UNIVERSITÄT LEIPZIG

8 εἰδέναι, ὅτι ἑκὼν εἶσιν εἰς τὸ μετεωρίζειν ἑαυτόν. ἐπὶ τῷ
τοιούτῳ εἴδει ἱππαζομένων ἵππων καὶ θεοὶ καὶ ἥρωες γρά-
φονται, καὶ ἄνδρες οἱ καλῶς χρώμενοι αὐτοῖς μεγαλοπρε-
9 πεῖς φαίνονται. οὕτω δὲ καὶ ἔστιν ὁ μετεωρίζων ἑαυτὸν
ἵππος σφόδρα ἢ καλὸν ἢ δεινὸν ἢ ἀγαστὸν ἢ θαυμαστόν,
ὡς πάντων τῶν ὁρώντων καὶ νέων καὶ γεραιτέρων τὰ
ὄμματα κατέχειν. οὐδεὶς γοῦν οὔτε ἀπολείπει αὐτὸν οὔτε
ἀπαγορεύει θεώμενος, ἔστ᾽ ἄν περ ἐπιδεικνύηται τὴν
10 λαμπρότητα. ἢν γε μήν ποτε συμβῇ τινι τῶν τοιοῦτον
ἵππον κεκτημένων ἢ φυλαρχῆσαι ἢ ἱππαρχῆσαι, οὐ δεῖ
αὐτὸν τοῦτο σπουδάζειν, ὅπως αὐτὸς μόνος λαμπρὸς ἔσται,
ἀλλὰ πολὺ μᾶλλον, ὅπως ὅλον τὸ ἑπόμενον ἀξιοθέατον
11 φανεῖται. ἢν μὲν οὖν ἡγῆται – ὡς μάλιστα ἐπαινοῦσι τοὺς
τοιούτους ἵππους –, ὃς ἂν ἀνωτάτω αἰρόμενος καὶ πυκνό-
τατα τὸ σῶμα βραχύτατον προβαίνῃ, δῆλον ὅτι καὶ βάδην
ἕποιντ᾽ ἂν οἱ ἄλλοι ἵπποι αὐτῷ. ἐκ δὲ ταύτης τῆς ὄψεως τί
12 ἂν καὶ λαμπρὸν γένοιτ᾽ ἄν; ἢν δὲ ἐξεγείρας τὸν ἵππον ἡγῆ-
ται μήτε τῷ ἄγαν τάχει μήτε τῷ ἄγαν βράδει, ὡς δ᾽ εὐθυ-
μότατοι ἵπποι καὶ γοργότατοι καὶ πονεῖν εὐσχημονέστα-
τοι γίγνονται, — ἐὰν ἡγῇ αὐτοῖς οὕτως, ἀθρόος μὲν ⟨ἂν⟩ ὁ
κτύπος, ἀθρόον δὲ τὸ φρύαγμα καὶ τὸ φύσημα τῶν ἵππων
συμπαρέποιτο, ὥστε οὐ μόνον αὐτὸς ἀλλὰ καὶ πάντες οἱ
συμπαρεπόμενοι ἀξιοθέατοι ἂν φαίνοιντο.
13 Ἢν γε μήν τις καλῶς μὲν ἱππωνήσῃ, τρέφῃ δὲ ὡς πό-
νους δύνασθαι ὑποφέρειν, ὀρθῶς δὲ χρῆται καὶ ἐν τοῖς

πρὸς πόλεμον μελετήμασι καὶ ἐν ταῖς πρὸς ἐπίδειξιν ἱππασίαις καὶ ἐν τοῖς πολεμικοῖς ἀγωνίσμασι, τί ἔτι ἐμποδὼν τούτῳ, μὴ οὐχὶ πλείονός τε ἀξίους ἵππους ποιεῖν ἢ οἵους ἂν παραλαμβάνῃ, καὶ εὐδοκίμους μὲν ἵππους ἔχειν, εὐδοκιμεῖν δὲ αὐτὸν ἐν τῇ ἱππικῇ, ἢν μή τι δαιμόνιον κωλύῃ;

## 12

Γράψαι δὲ βουλόμεθα, καὶ ὡς δεῖ ὡπλίσθαι τὸν μέλλοντα ἐφ᾽ ἵππου κινδυνεύειν. πρῶτον μὲν τοίνυν φαμὲν χρῆναι πρὸς τὸ σῶμα τὸν θώρακα πεποιῆσθαι. τὸν μὲν γὰρ καλῶς ἁρμόζοντα, ἐκεῖνον φέρει τὸ σῶμα, τὸν δὲ ἄγαν χαλαρὸν οἱ ὦμοι μόνοι φέρουσιν. ὅ γε μὴν λίαν στενὸς δεσμός, οὐχ ὅπλον ἐστίν. ἐπεὶ δὲ καὶ ὁ αὐχήν ἐστι τῶν καιρίων, φαμὲν χρῆναι καὶ τούτῳ ἐξ αὐτοῦ τοῦ θώρακος ὅμοιον τῷ αὐχένι στέγασμα πεποιῆσθαι. τοῦτο γὰρ ἅμα κόσμον τε παρέξει καί, ἢν οἷον δεῖ εἰργασμένον ᾖ, δέξεται, ὅταν βούληται, τῷ ἀναβάτῃ τὸ πρόσωπον μέχρι τῆς ῥινός. κράνος γε μὴν κράτιστον εἶναι νομίζομεν τὸ Βοιωτιουργές· τοῦτο γὰρ αὖ στεγάζει μάλιστα πάντα τὰ ὑπερέχοντα τοῦ θώρακος, ὁρᾶν δὲ οὐ κωλύει. ὁ δ᾽ αὖ θώραξ οὕτως εἰργάσθω, ὡς μὴ κωλύειν μήτε καθίζειν μήτ᾽ ἐπικύπτειν. τὰ δὲ περὶ τὸ ἦτρον καὶ τὰ αἰδοῖα καὶ τὰ κύκλῳ αἱ πτέρυγες τοσαῦται

5 καὶ τοιαῦται ἔστωσαν, ὥστε στέγειν τὰ βέλη. ἐπεὶ δὲ καὶ ἡ
ἀριστερὰ χείρ, ἤν τι πάθῃ, καταλύει τὸν ἱππέα, καὶ ταύτῃ
ἐπαινοῦμεν τὸ εὑρημένον ὅπλον τὴν χεῖρα καλουμένην. τόν
τε γὰρ ὦμον σκεπάζει καὶ τὸν βραχίονα καὶ τὸν πῆχυν καὶ
τὸ ἐχόμενον τῶν ἡνιῶν, καὶ ἐκτείνεται δὲ καὶ συγκάμπτε-
ται· πρὸς δὲ τούτοις καὶ τὸ διαλεῖπον τοῦ θώρακος ὑπὸ τῇ
6 μασχάλῃ καλύπτει. τήν γε μὴν δεξιὰν ἐπαίρειν δεῖ, ἤν τε
ἀκοντίσαι ἤν τε πατάξαι βουληθῇ. τοῦ μὲν δὴ θώρακος τὸ
κωλῦον ταύτῃ ἀφαιρετέον· ἀντὶ δὲ τούτου πτέρυγας ἐν
τοῖς γιγγλύμοις προσθετέον, ὅπως, ὅταν μὲν διαίρηται,
ὁμοίως ἀναπτύσσωνται, ὅταν δὲ καταίρηται, ἐπικλείων-
7 ται. τῷ γε μὴν βραχίονι τὸ ὥσπερ κνημὶς παρατιθέμενον
βέλτιον ἡμῖν δοκεῖ εἶναι ἢ συνδεθὲν ὅπλῳ. τό γε μὴν ψι-
λούμενον αἰρομένης τῆς δεξιᾶς στεγαστέον ἐγγὺς τοῦ
θώρακος ἢ μοσχείῳ ἢ χαλκείῳ· εἰ δὲ μή, ἐν τῷ ἐπικαιρο-
τάτῳ ἀφύλακτον ἔσται.
8 Ἐπεὶ δ' ἤνπερ τι πάσχῃ ὁ ἵππος, ἐν παντὶ κινδύνου καὶ
ὁ ἀναβάτης γίγνεται, ὁπλίζειν δεῖ καὶ τὸν ἵππον προ-
μετωπιδίῳ καὶ προστερνιδίῳ καὶ παραπλευριδίοις· ταῦτα



SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id404263895/42
UNIVERSITÄT LEIPZIG

γὰρ ἅμα καὶ τῷ ἀναβάτῃ παραμηρίδια γίγνεται. πάντων
δὲ μάλιστα τοῦ ἵππου τὸν κενεῶνα δεῖ σκεπάζειν· καιριώτατον γὰρ ὂν καὶ ἀφαυρότατόν ἐστι· δυνατὸν δὲ σὺν
τῷ ἐφιππίῳ καὶ αὐτὸν σκεπάσαι. χρὴ δὲ καὶ τὸ ἔποχον **9**
τοιοῦτον ἐρράφθαι, ὡς ἀσφαλέστερόν τε τὸν ἱππέα καθῆσθαι καὶ τὴν ἕδραν τοῦ ἵππου μὴ σίνεσθαι. καὶ τὰ μὲν δὴ
ἄλλα οὕτω καὶ ὁ ἵππος καὶ ὁ ἱππεὺς ὡπλισμένοι ἂν εἶεν.
κνῆμαι δὲ καὶ πόδες ὑπερέχοιεν μὲν ἂν εἰκότως τῶν παρα- **10**
μηριδίων, ὁπλισθείη δ' ἂν καὶ ταῦτα, εἰ ἐμβάδες γένοιντο
σκύτους, ἐξ οὗπερ αἱ κρηπῖδες ποιοῦνται· οὕτω γὰρ ἂν
ἅμα ὅπλον τε κνήμαις καὶ ποσὶν ὑποδήματ' ἂν εἴη.

Ὡς μὲν δὴ μὴ βλάπτεσθαι θεῶν ἵλεων ὄντων, ταῦτα **11**
ὅπλα. ὡς δὲ τοὺς ἐναντίους βλάπτειν, μάχαιραν μὲν μᾶλλον ἢ ξίφος ἐπαινοῦμεν· ἐφ' ὑψηλοῦ γὰρ ὄντι τῷ ἱππεῖ
κοπίδος μᾶλλον ἡ πληγὴ ἢ ξίφους ἀρκέσει. ἀντί γε μὴν **12**
δόρατος καμακίνου, ἐπειδὴ καὶ ἀσθενὲς καὶ δύσφορόν

ἐστι, τὰ κρανάινα δύο παλτὰ μᾶλλον ἐπαινοῦμεν. καὶ γὰρ ἐξαφεῖναι τὸ ἕτερον δυνατὸν τῷ ἐπισταμένῳ, καὶ τῷ λειπομένῳ οἷόν τε χρῆσθαι καὶ εἰς τὸ ἀντίον καὶ εἰς τὰ πλάγια καὶ εἰς τοὔπισθεν· καὶ ἅμα ἰσχυρότερά τε τοῦ δόρατος καὶ εὐφορώτερά ἐστιν.

13 Ἀκόντισμά γε μὴν τὸ μακρότατον ἐπαινοῦμεν· καὶ γὰρ ἀποστρέψαι καὶ μεταλαβεῖν παλτὸν οὕτω μᾶλλον ὁ χρόνος ἐγχωρεῖ. γράψομεν δὲ ἐν βραχεῖ, καὶ ὡς ἄν τις κράτιστα ἀκοντίζοι. ἢν γὰρ προβαλλόμενος μὲν τὰ ἀριστερά, ἐπανάγων δὲ τὰ δεξιά, ἐξανιστάμενος δὲ ἐκ τῶν μηρῶν, μικρὸν ἐπανακύπτουσαν τὴν λόγχην ἀφῇ, οὕτω σφοδρότατόν τε καὶ μακρότατον οἴσεται τὸ ἀκόντιον, εὐστοχώτατον μέντοι, ἐὰν κατὰ τὸν σκοπὸν ἀφιεμένη ἀεὶ ὁρᾷ ἡ λόγχη.

14 Καὶ ταῦτα μὲν δὴ ἰδιώτη καὶ ὑπομνήματα καὶ μαθήματα καὶ μελετήματα γεγράφθω ἡμῖν. ἃ δὲ ἱππάρχῳ προσῆκεν εἰδέναι τε καὶ πράττειν, ἐν ἑτέρῳ λόγῳ δεδήλωται.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id404263895/44 UNIVERSITÄT LEIPZIG

# *ΣΙΜΩΝΟΣ ΑΘΗΝΑΙΟΥ*

# *ΠΕΡΙ ΕΙΔΟΥΣ ΚΑΙ ΕΠΙΛΟΓΗΣ ΙΠΠΩΝ*

SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id404263895/45
UNIVERSITÄT LEIPZIG

1 *Δοκεῖ μοι περὶ ἰδέας ἱππικῆς δεῖν πρῶτον εἰδέναι καλῶς τοῦτο τὸ μάθημα, τὴν πατρίδα γιγνώσκειν ὡς ἔστιν κατά γε τὴν Ἑλλάδα χώραν κρατίστη ἡ Θετταλία.*

2 *Τὸ δὲ μέγεθος τρία τῶν ὀνομάτων ἐπιδέχεται· μέγα, μικρόν, εὐμέγεθες, ἢ εἰ βούλει σύμμετρον, καὶ δῆλον ἐφ᾽ οὗ τῶν ὀνομάτων ἁρμόσει ἕκαστον· κράτιστον δὲ ἐν παντὶ ζῴῳ ἡ συμμετρία.*

3 *Χρόαν δὲ οὐκ ἔχω ἵππων ἀρίστην ὁρίσαι· δοκεῖ δέ μοι ὅμως, ἥ τις ὁμόχρους ἐστὶν αὐτὴ ἑαυτῇ ὅλη καὶ εὔθριξ μάλιστα, ἀρίστη εἶναι ὡς ἐπὶ πολὺ ἢ ἡ πορρωτάτω ὄνου καὶ ἡμιόνου.*

4 *Ὃ δὲ οὐδενὸς εἰς διάσκεψιν ἔλαττον, δεῖ τὸν ἵππον ἄνω μὲν εἶναι βραχύν, κάτωθεν δὲ μακρόν, οἷον ἀπὸ μὲν τῆς ἀκρωμίας ἐπὶ τὰ ἰσχία βραχὺ τὸ χωρίον ἔχειν, ἀπὸ δὲ τῶν*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id404263895/46 UNIVERSITÄT LEIPZIG

*ὀπισθίων μηρῶν ἐπὶ τὰ ἔμπροσθεν μακρὸν ὡς πλεῖστον, εἶτα εὔποδα εἶναι.*

5 *Ὁπλὴ μὲν οὖν ἀγαθὴ ἵππῳ ἀγαθὸν καὶ τὰ τοῦ ἵππου σκέλη ἐλαφρὰ καὶ εὔφορα καὶ μήτε πλατέα μήτε ὑψηλὰ ἄγαν, ὀλίγον δὲ τὸν ὄνυχα παχὺν ἔχει. ἔστι δὲ αὐτῇ τεκμήριον καὶ ὁ ψόφος τῆς ὁπλῆς τῆς ἀγαθῆς· κυμβαλίζει γὰρ ἡ κοίλη μᾶλλον ἢ ἡ πλήρης καὶ σαρκώδης. τὸ δὲ μετακύνιον ἐχέτω ὑγρόν, κυνοβάτης δὲ μὴ ἔστω· δασέα δὲ καὶ παρὰ τὰς κνήμας ἐχέτω τὰ περὶ τὴν περόνην [ἰσχία] καὶ τὴν κνήμην καὶ νευρώδη καὶ ἄσαρκα ὡς μάλιστα ἄχρι τοῦ γόνατος, τὰ δὲ ἄνωθεν τούτου καὶ σαρκωδέστερα καὶ ἰσχυρότερα.*

6 *Τὴν δὲ διάστασιν τοῖν σκελοῖν ἐχέτω ὡς μεγίστην. τὰ δὲ στήθη μὴ στενὰ ἔχων λίαν μηδὲ πλατέα ἄγαν καὶ τὴν ὠμοπλάτην ὡς μεγίστην καὶ πλατυτάτην, τὴν δὲ μασχάλην*

*μικράν, τὸν αὐχένα καὶ τὴν προτομὴν ὀρθὸν ἐχέτω, μὴ τὴν ἔκφυσιν ἀνάσιμον εἰς τὴν ἀκρωμίαν ὡς παχυτάτην καὶ πλατυτάτην. παρὰ δὲ τὴν σιαγόνα ὁ αὐχὴν ἔστω λεπτός, ὑγρός, ἀνάσιμος εἰς τοὔπιθεν, πάλιν δὲ ἐκ τοῦ λεπτοτάτου εἰς τὰ πρόσθεν κατακαμπτέσθω.*

7 *Καὶ τὴν κεφαλὴν προαγέτω δὴ καὶ μὴ βραχὺς ἔστω ὁ αὐχήν, τὴν δὲ κορυφὴν ὑψηλὴν ἐχέτω, ἡ δὲ κεφαλὴ ἐπισημότατ' ἐλαφρά· τὼ δὲ μυκτῆρε ὡς μεγίστω, τὼ δὲ γνάθω μὴ παχείας καὶ ὁμαλὰς πρὸς ἀλλήλας, τὼ δὲ ὀφθαλμὼ μεγάλω, ἔξω δὲ ὡς μάλιστα καὶ ἰδεῖν λαμπρώ, τὰ δὲ ὦτα μικρὰ καὶ τοὺς ὀδόντας, τὴν δὲ σιαγόνα ὡς μικροτάτην, τὰ δὲ μεταξὺ τοῦ αὐχένος καὶ τῆς σιαγόνος ὡς λαγαρώτατα.*

8 *Τὴν δὲ ἀκρωμίαν ὡς μεγίστην καὶ τὴν ῥάχιν, τὰς δὲ πλευρὰς πλατυτάτας καὶ καθειμένας κάτω, τὴν δὲ ὀσφὺν ἐχέτω ὑγράν – γνοίη δ' ἄν τις τὴν ὑγράν, εἰ μὴ ἐν ἀμφοῖν*

*τοῖν σκελοῖν σταίη, ἀλλ' ὡς τὰ πολλὰ εἰς τὸ ἕτερον μεταβαίνοι τοῖν ὄπισθεν σκελοῖν – τὸ δὲ ἰσχίον μέγιστον καὶ πλατύ, τὴν δὲ λαγόνα ὡς μικροτάτην (αἱ πλευραὶ καὶ αὗται ἔστωσαν πλατεῖαι καὶ ἰσχίον μέγα – μικρότατον δὲ καὶ ἀσθενέστατον τοῦ ἵππου ἡ λαγών –).*

9 *Τά δὲ μηρία δεῖ μὴ σαρκώδη εἶναι, τοὺς δὲ ὄρχεις ἐχέτω μικρούς. τὸ ⟨δὲ⟩ μεταξὺ τῶν μηριαίων μὴ μετέωρον ἐχέτω μηδὲ πλῆρες, ἀλλ' ὀλίγον ἐγκολλότερον. καὶ τὴν ἕδραν ὡς μικροτάτην καὶ ὡς πορρωτάτω ⟨τοῦ⟩ ἰδεῖν. τὴν δὲ κέρκον μετέωρον ἐχέτω καὶ ἐκ τῶν ἰσχίων δασεῖαν καὶ μακράν.*

10 *Περὶ μὲν οὖν εἴδους ἵππων ταῦτα καὶ ὅτι ὁ μὲν ἅπαντα ταῦτα μάλιστα ἔχων ἄριστος, δεύτερος δὲ ὃς τὰ τούτων ἔχει πλεῖστα. ὅσα γὰρ κέκτηται πλεῖστα, τοσαῦτα μεγίστας ὠφελείας παρέχεται.*

11 *Ἕλκεται δὲ πῶλος ἐκ τῶν πωλίων διέτης. περὶ τοῦτον τὸν χρόνον βάλλει τοὺς πρώτους ὀδόντας τριακοντάμηνος γεγονώς, τοὺς δευτέρους δὲ ἐνιαυτῷ ὕστερον καὶ τοὺς τελευταίους ἑτέρῳ ἐνιαυτῷ καὶ ἐν ἐλάττονι χρόνῳ. ἀκμαῖος ⟨δ'⟩ αὐτὸς ἑαυτοῦ γίγνεται εἴς τε ποδώκειαν καί ἰταμότητα ἔργων ἑξέτης γεγονώς.*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id404263895/49 UNIVERSITÄT LEIPZIG

Hinweise

Signatur 38. 8° 1876

Stok

RS

Bub

AK

Titelaufn.

AKB

FK

1 Griech. Lit.

Bio K

Bild K

SWK

Sonderstandort

Signum

Ausleihe-
vermerk

III/9/280 Id-G 54/60

ZFB Entsäuerung

01. Okt. 2007

1986

SLUB
Wir führen Wissen.
http://digital.slub-dresden.de/id404263895/51
UNIVERSITÄT LEIPZIG